1-4 Multo plura apud Firmicum, III, 3, 22. 1 Ἐπὶ δὲ τῶν κακοδαιμονούντων ζῳδίων P : Ἐν δὲ τῷ ιβ′ (ια′ V) ἢ τῷ ϛ′ AV, qui κακοδαιμονοῦντα ζῴδια interpretantur locum XII et locum VI, id est κακὸς δαίμων et κακὴ τύχη. Cf. v. 5, v. 11, v. 17 ubi ἐν τῷ δωδεκάτῳ in P glossa esse videtur. Vide etiam locum XI : ἐπὶ δὲ τῶν ἀγαθοδαιμονούντων ζῳδίων. 1 Post Ζεὺς] ἐν τῷ δωδεκάτῳ P. 2 ὑπερέχοντας AV; cf. p. 187, 4 : Firmic. « potentes » : ἐλαχιστοτέρους P. ἀποτελεῖ om. AV. 3 οὗτος om. P. Post τούτοις signum Martis AV. ἀγαθὸς γενήσεται P. 4 δὲ om. AV. 5-10 cf. Firmic. Mat., III, 4, 34. 5 Ἐν δὲ τῷ ϛ′ ἢ τῷ ιβ′ AV; cf. supra v. 1. Post Ἄρης] ἐν τῷ δωδεκάτῳ P. ἢ νόσων A : ἀνοσίων V. 7 δοξῶν οὐ κατακρίτων V. 8 δὲ om. P. ἡμέρας signo astr. P : signum Solis AV. δὲ om. AV. μετριώτερα τ. κ. γίνονται AV, cf. Firmic. « haec omnia mitigantur » : μέτριον ἔσται τὸ κακόν P. 9 γὰρ om. P. οὗτος om. P. ὑπογείῳ (signo astr.) P : om. AV. καθόλου (καθολικῶς V) ἡμέρας τυχὼν AV. 11-13 cf. Firmic., III, 5, 39. 11 Ἐν δὲ τῷ ιβ′ τόπῳ AV. Post Ἥλιος] ἐν τῷ δωδεκάτῳ P. 12 ποιήσει P. ἢ AV : καὶ P. 13 πειρῶνται ἡμέρας AV, qui νυκτὸς (v. 14) omittunt. 14-21 cf. Firm. Mat., III, 6, 25 (usque ad p. 152, 10). 14 Ἐπὶ δὲ τοῦ ιβ′ τυχοῦσα Ἀφροδ AV. 15 λυπηθήσονται AV. ποιεῖ suppl. 16 καὶ Ἑρμοῦ ἢ sic P : ἢ Ἄρεως sine Ἑρμοῦ AV : « Mars et Mercurius » Firm., qui Saturnum omittit. περικυλίονται AV : περικοιλυομένους P. An περικωλυομένους? 17 τούτεστιν ἐρωτικοῖς glossa esse videtur. ἢ AP : καὶ V. δούλοις A. ἑταίραις V : ἑτέραις P : ἑτέροις A. 18 καὶ χάριν P. ἀτεκνίας P. ἡμέρας P : « per diem » Firm. : ὑπὸ ἡλίου AV (signo astr.). τυχοῦσα — τόπου om. AV; cf. Firm. : « in hoc loco posita ». 19 κακοὺς καὶ βιαίους A. σημαίνει om. P. 20 φυσικὴν ἰδιότητα P : φύσιν AV : « naturam qualitatemque » Firm. γὰρ AV : « enim » Firm. : δὲ P. θεὸς AV. 21 χρηματισμοὺς P : σχηματισμοὺς AV : « decernendi potestates » Firm. οἷς scripsi : ἧς P : ὑφ' ἧς AV. ὁδηγηθήσονται V.

Digitized by Microsoft®

Ἐὰν δὲ ἐν τῷ κακοδαιμονοῦντι ζῳδίῳ τύχῃ ὁ Ἑρμῆς, μεγάλων πραγμάτων ἀντιλαμβανομένους γεννήσει ἢ καὶ μισθωτὰς δημοσίων, ὑπὸ ἄλλων κινδυνεύοντας πραγμάτων, εὐημεροῦντας δὲ καὶ ἐν αὐτοῖς. ἑσπέριος δὲ τυχὼν ἐπὶ τοῦδε τοῦ τόπου πολυπράγμων γίνεται. οὐ γὰρ εἰκῇ καὶ ὡς ἔτυχεν ἀλλὰ κατὰ μοῖραν Ἑρμῆς τοκετῷ τὸν τόπον ἐσημειώσατο, ἐν ᾧ ἡ μοῖρα τῆς ὠδινούσης ἐφέστηκεν, εἰ κέκυηκε συμπάσχοντος αὐτῷ καὶ τοῦ κατὰ διάμετρον ζῳδίου, ἀφ᾽ οὗ τόπου οἱ συμπλεκόμενοι ἀστέρες ἀργοτέρας τὰς πράξεις ἀποδιδόασιν. ὁ δὲ τοῦ Ἑρμοῦ ἀστὴρ ἐπὶ τοῦδε τοῦ τόπου τυχὼν γραμματικούς, ῥήτορας, γεωμέτρας, διδασκάλους, λόγους πιπράσκοντας γεννήσει ἢ διὰ λόγου τῶν ὁμοίων ἀνθρώπων εὐεργέτας γινομένους καὶ περισσότερον τῶν ἄλλων φρονοῦντας. ἐναντιωθεὶς δὲ ὑπὸ Ἄρεως κακὸς γενόμενος καταδικάσει ἕνεκα ἀπορρήτων πραγμάτων ἢ πλαστῶν ἢ οἰκονομίας ἢ δούλων χάριν, ἢ καὶ καταδίκῃ περιτρέψει.

Ἐὰν ἐν τῷ κακαδαιμονοῦντι ζῳδίῳ τύχῃ ἡ Σελήνη ***

Περὶ ὡροσκόπου· τόπος πρῶτος.

Ὁ δὲ πρῶτος τόπος καλεῖται ὁ περὶ ζωῆς· διὰ δὲ τοῦτο οὕτως ἐκλήθη ἐπειδὴ μετὰ τὴν τοῦ κακοδαιμονήματος ἀνατολὴν τοῦτο τὸ ζῴδιον ἀνατέλλει καὶ μετὰ τὴν τοῦ κλιμακτῆρος πάροδον περὶ ζωῆς

1-14 cf. Firm., III,7, 24-26. 1 ἐν δὲ τῷ ιβ′ τυχὼν AV. Leg. ζῳδίῳ <ἑῴος> ? cf. v. 4; sed et apud Firm. « matutinus » deest. 2 μισθωτοὺς AV. δημοσίους codd.; corr. ex Firm. : « conductores publicorum negotiorum ». 4 ἕσπερος A. ἐπὶ τοῦ ιβ′ AV. 5 εἰκῇ AV : ἴσον (sic) P. 5-6 ἔτυχεν — ἐσημειώσατο] ἔτυχεν ὁ τόπος οὗτος ἐσημειώθη AV. ἀλλὰ corr. : ἢ cod. Ερμῆς (signo astr.)] i. e. Hermes Trismegistus; cf. Firm. Mat. « prudentissimi viri notaverunt ». τοκετῷ corr. : τούτῳ cod.: « partum » Firm.; Paul. Alex., O, 1, v. 10 : σημαίνει τοκετοῦ λόγον et supra p. 127, 13. 6 ἐν ᾧ τὴν μοῖραν P : ἐν τούτῳ γὰρ ἡ μοῖρα AV. εἰ κέκρικε P; corr. : om. AV : « editura sobolem » Firmic. 7 αὐτῷ corr. : αὐτὸ P : αὐτοῦ AV. διάμετρον (signo astr.) P : τὸ AV : « sextus locus » Firm. ἐφ᾽ οὗ P. 7-8 εἰ συμπλανώμενοι P; sed συμπλέκεσθαι de astris usurpatur, cf. Vett. Val., p. 120, 2; 281, 30; cf. 119, 27; 120, 6. 9 τοῦδε τοῦ τόπου P : τοῦ ιβ′ V : τῶν ιβ′ A. γραμματικούς AV : « grammaticos » Firm. : πρακτικούς P. 10 γεωμετρικούς P : « geometras » Firm. λογικοὺς P. τοὺς πράσκοντας A : « defensiones ... vendentes » Firm. ποιήσει AV. ἢ om. P : « aut » Firm. λόγων P : « orationis » Firm. 11 ὁμοίων vix sanum : « laborantibus hominibus » Firm. (i. e. κινδυνευόντων? Bidez). εὐεργέτας γινομένους P : εὐεργετικοὺς AV. καὶ om. P. 12 ἄλλων AV : αὐτῶν P. κακῶς γινομένων P. 13 ἢ ... ἢ om. P. οἰκονομιῶν P. 13-14 ἢ καὶ δουλ. P : ἢ δουλ. AV. 14 καὶ om. P. 15 Ἐὰν — Σελήνη P solus servavit. Quae de Luna hic desunt, invenies apud Firmicum, III, 13, 12. 16 Περὶ ὡροσκόπου τόπος α′ P, f. 94r : περὶ (ὡροσκόπου) m. 2 in ras. A : tit. om. V. 17 Ὁ om. P. δὲ om. V. Post πρῶτος] ὡροσκόπου m. 2 in ras. A : ὁ καὶ ὡροσκόπος V. δὲ om. AV. 17-18 οὕτως ἐκλήθη om. AV. 18 ἐπιδεὶ sic P : ὅτι AV. κακοδαιμονήματος P : κακοῦ δαίμονος AV : cf. supra p. 126, 16. 18-19 τοῦτο τὸ ζῴδιον om. AV.

Digitized by Microsoft®

ἐξετάζεται καὶ ἡ τίκτουσα καὶ τὸ βρέφος, καὶ ὅτι ἀμφότεροι ἀπὸ κινδύνων καὶ σκότους ἐπὶ τὸ φῶς ἐληλύθασιν καὶ τὴν ζωήν· οἴαξ δὲ καλεῖται[1] καὶ πρῶτον τόπον λέγομεν ὅτι ἡ ἀρχὴ τῆς ἐπισκέψεως τοῖς μαθηματικοῖς ἐκεῖθεν γνωρίζεται· ἔτι δὲ καὶ πνεύματος καὶ βάσεώς[2] ἐστι δηλωτικός. ἐν δὲ τούτῳ τῷ τόπῳ ὁ τοῦ Ἑρμοῦ χαίρει παρὼν ὅτι τὸ πνευματικὸν διὰ τοῦ λόγου καθέστηκεν[3].

Ἐπὰν δέ τις τῶν ἀγαθοποιῶν ὡροσκοπῇ δίχα τῆς τῶν κακοποιῶν θεωρίας καὶ τοῦ κυρίου τοῦ ὡροσκόπου καλῶς κειμένου καὶ τῶν τριγωνοκρατόρων τοῦ ὡροσκόπου, εὔτροφον ἔσται τὸ γεννηθὲν καὶ καλὴν ἕξει τὴν πρώτην ἡλικίαν. εἰ δέ τις τῶν κακοποιῶν ὡροσκοπεῖ καὶ τὸν Ἥλιον καὶ τὴν Σελήνην κατοπτεύει, ἄτροφα ἢ ὀλιγοχρόνια ἢ σεσινωμένα ἢ ἐπιπαθῆ ἢ ἐν ὀρφανίᾳ διατελοῦντα τὰ τικτόμενα λέγε. ἐπὰν δὲ ὁ Ἥλιος ἐν τῷ ἰδίῳ τριγώνῳ ὡροσκοπῇ, πρωτοτόκους ἢ πρωτοτρόφους λέγε τοὺς γεννηθέντας· καὶ ἡγεμονίαν καὶ προκοπὴν παρέχει δίχα τῆς τῶν κακοποιῶν ἀκτινοβολίας. ὁ δὲ Κρόνος ὡροσκοπῶν πρωτοτόκους ἢ πρωτοτρόφους λέγει τοὺς γεννηθέντας. Ἀφροδίτη δὲ ὡροσκοποῦσα χαριέντας, τερπνούς, φιλομούσους, πολυκοίνους λέγει τοὺς γεννηθέντας, οὐκ εὐγάμους δέ· Ἑρμῆς δὲ ὡροσκοπῶν λογι-

1-2 καὶ ὅτι — τὴν ζωὴν om. AV. κυνδίων ut vid P : corr. 2 καλεῖται δὲ καὶ οἴαξ. AV. 3 τόπος πρῶτος (α′ A) λέγεται AV. τῆς μαθηματικῆς ἐπισκέψεως AV. 5 δηλωτικός ἐστιν AV. ἐν δὲ VP : ἐνὶ A. παρὼν om. AV. 7-12 cf. Paul. Alex., L, 2, v. 5-12. 7 ἐπὰν δέ τις τῶν ἀγαθοποιῶν ὡροσκοπῇ AV; cf. Paul. Alex., l. c., v. 5 : ἐπὰν δὲ τῶν ἀγαθῶν ὡροσκοπούντων P. 9 ἔσται AV, Paul. : λέγ(ε) P. γεννηθὲν P (γεννώμενον Paul.) : τικτόμενον AV. 10 λέγ(ε) τὴν π. ἡ. γένεσθαι P. ὡροσκοπῇ codd. 11 κατοπτεύοι V. 12 ἐπιπαθῆ P, Paul. : ἐμπαθῆ AV. ὀρφανίαις P. διατελοῦντα τὰ γενόμενα P : cf. Paul., v. 12 : διατελέσαι τὰ τικτόμενα AV. 13 ἐπὰν AV : ἐὰν P. ὁ om. P. ἐν μὲν P. ὡροσκοπῶν P. 13-14 πρωτότοκοι ἢ πρωτότροφοί εἰσιν (εἰσιν om. in lac. XII litt. V) οἱ γεννηθέντες καὶ ἡγεμονίαι καὶ προκοπαὶ ἔσονται αὐτοῖς AV. 15 δίχα AV : διὰ P. τῶν κακοποιῶν τῆς AV. 16 λέγε P. γεννωμένους AV. δὲ om. AV. 17 φιλομούσους P : φιλαγάθους οὐ AV. 17-18 λέγει τοὺς γενηθέντας P : ποιεῖ AV. 18 εὐγαμία sic AV. δὲ (post Ἑρ.) om. P.

[1] Cf. Hermetem Trism. apud Thrasyllum (*Catal.*, VIII, 3, p. 101, 18) : τὸν μὲν ὡροσκόπον οἴακα καὶ τύχης καὶ ψυχῆς καὶ τρόπου ζωῆς δηλωτικόν, Antiochum, *Ibid.*, 117, 1 : ὁ ὡροσκόπος καὶ οἴαξ τοῦ βίου καὶ τῆς ζωῆς εἴσοδος, δηλωτικός τε ψυχῆς καὶ τρόπου καὶ ὅσα τοιαῦτα. Genitura saec. I p. C. n. (Kenyon, *Papyri in the Brit. Mus.*, I. p. 137, nº CXXX, v. 165) : ὁ δ' οἴαξ τῶν ὅλων ὡροσκόπος. Cf. Paul. Alex., L, 2. v. 1 : ζωῆς καὶ πνεύματος ὁ ὡροσκόπος δοτὴρ καθέστηκεν, ὅθεν οἴαξ καλεῖται. Sculptores gubernaculum insigne proprium Fortunae tribuunt.

[2] Βάσις, quasi fundamentum totius vitae, horoscopus vocabatur ab Hermete, cf. *Revue de philologie*, 1918, p. 71, n. 5.

[3] Cf. *Ibid.*, p. 78.

Digitized by Microsoft®

κούς, φρονίμους, ἀγχινοῦς ποιεῖ τοὺς γεννηθέντας. Ἄρης δὲ ὡροσκοπῶν θερμούς, παραβόλους, τολμηρούς, ῥιψοκινδύνους ἀπεργάζεται, ἔσθ' ὅτε δὲ καὶ σεσινωμένους ἢ ἐπιπαθεῖς· ὀξυτοκίαν δὲ ποιεῖ ἢ ἐν ὁδῷ ἢ ἐν λούτρῳ. ὁ δὲ τοῦ Διός, ἐὰν ὡροσκοπῇ ἐκτὸς τῶν κακοποιῶν, λαμπρούς, ἡγεμόνας, ἄρχοντας τῆς ἰδίας πατρίδος πάντοτε ποιεῖ.

Ὁ δὲ κλῆρος τῆς τύχης καὶ ὁ κύριος αὐτοῦ ὡροσκοπῶν ἐπικείμενος τῷ τόπῳ ἑῷος ἀνατολικὸς ἀθεώρητος ὑπὸ κακοποιῶν εὐτυχεῖς, πολυχρονίους ποιήσει τοὺς τοιούτους. ὁ κύριος τοῦ ὡροσκόπου ὕπαυγος ὢν καὶ ὁ κλῆρος τῆς τύχης καὶ οἱ οἰκοδεσπόται τῶν φώτων ὀλιγοχρονίους ποιήσουσιν. ἐὰν δὲ ὁ κύριος τοῦ Ἀγαθοδαίμονος ὡροσκοπῇ, εὔπορον ποιεῖ ἐν τῇ νεότητι καὶ τὸ σχῆμα καλόν. Ἑρμῆς δὲ ἑῷος ὡροσκοπῶν μετὰ Ἡλίου ἢ Σελήνης ἐν θηλυκῷ ζῳδίῳ καὶ μοίραις θηλυκαῖς ἀποκόπους ποιήσει τοὺς τοιούτους τῶν ἀναγκαίων. ὁ κύριος τοῦ σίνους καὶ ὁ κύριος τοῦ κλήρου τοῦ σίνους ὡροσκοποῦντες ἐν τροπικοῖς ζῳδίοις καὶ αὐτὸν καὶ τοὺς γονεῖς πηροὺς ποιοῦσι· ἐὰν ὁ κύριος τοῦ ἑβδόμου τόπου ὡροσκοπῇ, ἐναντιουμένην αὐτῷ γυναῖκα λήψεται ὁ τοιοῦτος. ἐὰν ὁ κύριος τοῦ ἐννάτου τόπου ὡροσκοπῇ δίχα τῆς τῶν κακοποιῶν ἀκτινοβολίας, ἐπὶ ξένης καλῶς διάξει ὁ τοιοῦτος. ἐὰν τὸ δωδεκατημόριον τῶν φώτων ὡροσκοπῇ, εὐγενεῖς τοὺς γονεῖς πρόλεγε. ἐὰν οἱ κλῆροι τῶν γονέων νυκτὸς ὡροσκοπῶσιν, εὐγενεῖς οἱ γονεῖς.

Ἀφροδίτη ὡροσκοποῦσα ἐν θηλυκῷ ζῳδίῳ τὴν μητέρα εὐγενεστέραν καὶ πλουσιωτέραν καὶ πολυχρονιωτέραν τοῦ πατρὸς ποιεῖ· καὶ ἐπὶ τοῦ Διὸς οὕτως νόει ἀπὸ ὡροσκόπου· ἐὰν ὁ Ζεὺς ὡροσκοπῇ ἐν θηλυκῷ ζῳ-

1 ἀγχίνους AV : ἀγχοίνους P. ποιεῖ τοὺς γεννηθέντας om. AV. 2 ἀπεργάζεται om. AV. 3 ἐμπαθεῖς AV. 3-4 ἢ ἐν ὁ. ἢ ἐν λούτρῳ om. AV; cf. supra p. 125, 14. 4 Ζεὺς (m. 2 in ras. A) ὡροσκοπῶν AV. 5 πατρίδος V : πραγματείας AP. 6 αὐτοῦ V : αὐτῆς AP. 6-7 ἐπικείμενος τῷ τόπῳ om. AV. 7 ἀπὸ P. 8 ποιήσει τοὺς τοιούτους om. AV. 10 ποιοῦσιν AV. δὲ om. P. ἀγαθοδαίμονος P : ια' τόπου AV. 11 ποιεῖ AV. ἐν τῇ νεότητι — καλὸν AV : τὸν τοιοῦτον καὶ καλὸν τὸ σχῆμα πρόλεγε ἐνεότητι (sic) δὲ τοῦτο ποιεῖ P. δὲ om. P. 12 μετὰ e corr. P. καὶ μοίραις P ἐν γροι cum lineola superscripta AV (sed μ° i. e. μοίραις habet Paris. 2506). 13 ποιήσει τοὺς τοιούτους P : ποιεῖ AV. ἤτοι εὐνούχους post ἀναγκαίων (i. e. αἰδοίων) add. AV, sed glossa esse videtur. ὁ γὰρ κυρ. P. 15 τροπικῷ (τῷ πικῷ A) ζῳδίῳ AV. γόνους V. πηροὺς ποιοῦσι P : πηροῦσι AV. 15-17 ὁ κύριος τοῦ ζ' ὡροσκοπῶν ἐναντιουμένας (-νους A) αὐτῷ γυναῖκας (γυναῖκα A) δίδωσι AV. 17-18 ὁ κύριος τοῦ θ' ὡροσκοπῶν δίχα τῆς τῶν κακοποιῶν (κακῶν A) μαρτυρίας AV. διάξει ὁ τοιοῦτος P : πράξειν ποιεῖ AV. 19 ὡροσκόπῃ τῶν φώτων P. 19-20 λέγε τοὺς γεννωμένους AV. 20-21 ἐὰν οἱ κλῆροι — γονεῖς om. P. νυκτὸς om. V. 22 Ζεὺς ἢ Ἀφροδίτη ὡροσκοποῦντες AV. 23 πλουσιωτέραν λέγ(ε) καὶ πολυχρονιωτέραν cet. om. AV. 23-p. 134, 6 καὶ ἐπὶ τοῦ Διὸς — ἐπιτρόπους ποιεῖ] Ἀφροδίτης ἢ Διὸς ὡροσκοποῦντος ἐν δισώμῳ ἢ διπατέρα ἢ διώνυμον λέγε τὸν γεννώμενον. Ἑρμοῦ δὲ ὡροσκοποῦντος εἰ μὲν ἐν δισώμῳ ζῳδίῳ διὰ γυναικός (γυναίκων V) τῶν γεννωμένων προκοπαὶ καὶ συστάσεις ἔσονται AV.

Digitized by Microsoft®

δίῳ τὴν μητέρα εὐγενεστέραν λέγε· Ζεὺς ὡροσκοπῶν ἐν δισώμῳ ζῳδίῳ ἢ διπάτριον ἢ διώνυμον ποιεῖ τὸν γεννηθέντα· τὰ δὲ αὐτὰ καὶ ἡ Ἀφροδίτη ποιεῖ ὡροσκοποῦσα ἐν δισώμῳ ζῳδίῳ. Ἑρμῆς ὡροσκοπῶν, εἰ μὲν ἐν θηλυκῷ ζῳδίῳ, διὰ γυναικὸς τῷ γεννηθέντι προκοπὰς καὶ συστάσεις δίδωσι. Ἑρμῆς ὡροσκοπῶν ἐν δισώμῳ ζῳδίῳ ἀλλοτρίων τέκνων ἐπιτρόπους ποιεῖ. ὁ δὲ Κρόνος ἐπίκεντρος μετὰ Ἡλίου τοῦ Ἡλίου ἔκλειψιν ποιοῦντος ἐπὶ τῆς γεννητικῆς ἡμέρας ἐν αἰχμαλωσίαις καὶ συνοχαῖς καὶ δουλίαις ποιεῖ τὸν γεννηθέντα· εἰ δὲ σύνεστιν Ἀφροδίτη καὶ Ἑρμῆς, εὐνοῦχοι γίνονται. Ἥλιος καὶ Ἀφροδίτη ὡροσκοποῦντες ἐν Λέοντι ἐν ἡμερινῇ γενέσει ἀθεμιτοφάγους ποιοῦσι τοὺς τοιούτους ὑπὲρ βρώματα βίου. Κρόνος δὲ καὶ Ἀφροδίτη ὡροσκοποῦντες ἐν οἴκῳ Κρόνου ἢ Ἀφροδίτης ποιοῦσι τοὺς τοιούτους μίγνυσθαι θυγατράσιν ἢ ἀδελφαῖς ἰδίαις. ἐὰν δὲ καὶ Σελήνη ἐπιθεωρήσῃ, μητρογάμους ποιήσουσιν ἢ πρὸς θείας· ἐὰν δὲ μὴ θεωρήσῃ ἡ Σελήνη ἀλλὰ Ἄρης ἐπιβλέψῃ τὸ σχῆμα, ὠνητὴν γυναῖκα διδόασιν ἢ ἐπ' αὐτῶν βλάβας ποιοῦσι ἐκ τοιαύτης αἰτίας.

Ἐὰν ὁ Ἀναβιβάζων τύχῃ ἐν τῷ ὡροσκόπῳ καὶ Ζεὺς καὶ Ἀφροδίτη ἐκεῖ τύχωσι δίχα Κρόνου καὶ Ἄρεως, ἀνὴρ μέγας καὶ εὐτύχης ἔσται ἐν πόλει. εἰ δὲ καὶ Σελήνη συμμαρτυρήσῃ αὐτοῖς, βέλτιον τὸ ἀγαθόν. εἰ δὲ καὶ Ἥλιος συμπαρῇ τῷ τόπῳ ἢ ἐπιθεωρήσῃ αὐτούς, ἄμεινον τὸ τῆς εὐτυχίας. ἢ γὰρ μεγιστᾶνες ἢ τύραννοι γενήσονται οἱ τοιοῦτοι. ἐὰν δὲ καὶ Κρόνος καὶ Ἄρης ἐπιθεωρήσωσιν αὐτοῖς ἢ συμπαρῶσιν τῷ ὡροσκόπῳ νεότητα μοχθηρὰν καὶ ἀπόκτησιν ἕξει καὶ ἀλγηδόνας ἐν τοῖς ὀφθαλμοῖς καὶ ἐν οὐδενὶ εὐοδοῦται, ἕως ἂν ὑπερβῇ ἔτη λϛʹ· ἐπὰν δὲ ὑπερβῇ, ἀπαλλαγήσεται πάντων τῶν κακῶν. εἰ δὲ Κρόνος καὶ Ἄρης μετὰ Ἡλίου καὶ Σελήνης ἐπιτύχωσι Διὶ καὶ Ἀφροδίτῃ κατὰ συμπαρουσίαν ἢ ἐπιθεωρίαν, σινωθήσονται ὀστέα αὐτοῦ ἢ τυφλοῦται ἢ ἀπὸ πάθους

6 δὲ om. AV. 7-8 ἐν αἰχμαλωσίαις — γεννηθέντα] αἰχμαλώτους καὶ δούλους καὶ συνεχομένους AV. 9 εὐνοῦχος γίνεται AV. 9-11 Ἥλιος καὶ — βίου] om. AV. 10 βρώματα dubitanter corr. : χρώμ(α)τ(α) cod. 11 καὶ Ἀφροδίτη om. V. ὡροσκοποῦντες om. AV. 12 Post Ἀφροδίτης] καὶ Ἀφροδίτη μετ' αὐτοῦ V. 12-13 ποιοῦσι τοὺς τοιούτους — ἀδελφαῖς ἰδίαις] καὶ θυγατράσιν ἢ ἀδελφαῖς ἰδίαις μίγνυνται AV. 12 μίγνυσθαι scripsi : μὴ ἄγεσθαι P. 13 καὶ om. AV. μητρογαμοῦσι (om. ἢ πρὸς θείας) AV. 14 ἡ om. AV. θεωρήσει P. 14-15 ἐὰν δὲ μὴ Σελήνη ἀλλὰ Ἄρης ἐπιθεωρήσῃ δούλαις ζεύγνυνται ἢ βλάπτονται διὰ τοιαύτας αἰτίας AV. 15 δίδωσιν P; corr. 15-20 ἐὰν δὲ μὴ θεωρήσῃ — τῆς εὐτυχίας] Ἀναβιβάζοντος ὡροσκοποῦντος μετὰ Διὸς Ἀφροδίτης δίχα Κρόνου καὶ Ἄρεως μέγας ἔσται καὶ εὐτυχής. εἰ δὲ ἡ Σελήνη συμμαρτυρεῖ μετὰ ἀγαθοποιοῦ καὶ Ἥλιος συμπαρῇ τῷ τόπῳ ἢ ἐπιθεωρεῖ κρεῖττον AV. 20 ἢ γὰρ — οἱ τοιοῦτοι] τύραννοι γὰρ γίνονται ἢ μεγιστᾶνες AV. 20-22 ἐὰν δὲ καὶ — ὀφθαλμοῖς] εἰ δὲ Κρόνος καὶ Ἄρης μαρτυρήσουσιν ἢ ἐπῶσιν, νεότης μοχθηρὰ καὶ ἀποκτητικὴ ἔσται καὶ ὀφθαλμιάσει AV. 22 ἀποκτίσειν P; corr. 23-24 ἕως ἂν — τῶν κακῶν] ἕως λϛʹ ἐτῶν καὶ μετὰ τούτων ἀπαλλαγὴν ἕξουσι τῶν κακῶν AV. 25-26 ἐπιτύχωσι — ὀστέα αὐτοῦ] ὡροσκοποῦσι δίχα Διὸς Ἀφροδίτης σινοῦται τὸ ὀστοῦν αὐτῶν AV. καὶ συμπαρουσίας ἢ ἐπιθεωρίας P; corr. 26 ἀπὸ om. P.

Digitized by Microsoft®

τομὴν ἕξει καὶ ὅσα ἂν κτήσηται, ἀπολέσει, ἐσθ' ὅτε δὲ καὶ βιοθανατήσει.

Ἐὰν δὲ Καταβιβάζων ἐν τῷ ὡροσκόπῳ τύχῃ καὶ Κρόνος καὶ Ἄρης ἐκεῖ τύχωσι δίχα τῆς τῶν ἀγαθοποιῶν ἐπιθεωρίας, πανὺ χρηστὸν τὸ σχῆμα· πολύγνωστος γὰρ ἔσται καὶ δυνάστης καὶ εὐκτήμων. εἰ δὲ καὶ Ἑρμῆς καὶ Ἥλιος συμπαρῶσιν αὐτοῖς, τῷ πατρὶ κακὸν τὸ σχῆμα· ζημίας γὰρ καὶ μάχας καὶ καταπλοκὰς ὑπομενεῖ. εἰ δὲ καὶ Ζεὺς καὶ Ἀφροδίτη ἐκεῖ τύχωσιν μόνοι μετὰ Καταβιβάζοντος, κάκιστον τῷ γεννηθέντι, μάλιστα ἐὰν συμπαρῇ αὐτοῖς καὶ ἡ Σελήνη· μέτριος γὰρ ἔσται καὶ οὐδὲν κτήσεται.

Ὁ τοῦ Κρόνου ἡμέρας τυχὼν ἐπὶ τοῦ ὡροσκοποῦντος ζῳδίου κραυγὴν γεννήσει καὶ τὰ διὰ φωνῆς πρασσόμενα τῷ γεννωμένῳ· ποιεῖ δὲ καὶ πρωτοτόκους ἢ πρωτοτρόφους ἢ τῶν πρὸ αὐτοῦ ἀδελφῶν σπάνιν· πάντοτε δὲ ὁ θεὸς οὗτος ἐπιπαρὼν τοῖς κέντροις ποιεῖ πρωτογενεῖς ἢ καὶ πρωτοτρόφους ἤτοι τοὺς πρὸ αὐτοῦ ἀδελφοὺς ἀναιρεῖ· νυκτὸς δὲ βλάβας καὶ ἐναντιώσεις καὶ μόχθους τελεῖ, νυκτὸς δὲ καὶ παρ' ὑγροῖς τὰς πράξεις.

Ὁ Ζεὺς τῆς αἱρέσεως τυχὼν ἐπὶ τοῦ ὡροσκοποῦντος ζῳδίου ἐπισήμους, δοξαστικούς, πόλεων προηγουμένους, ἡδυβίους δὲ καὶ καλοψύχους ποιήσει· παρ' αἵρεσιν δὲ τυχὼν ἐπὶ τοῦδε τοῦ τόπου ποιήσει πρωτοτόκους ἢ πρωτοτρόφους <ἢ> πρὸ αὐτῶν ἀδελφοὺς ἀναιρεῖ· ἔτι δὲ τραφέντας καλῶς καὶ ἐν εὐδαιμονίᾳ γονέων τυχόντας, ἀπολλύοντας δὲ τὰ τῶν γονέων καὶ ἐκπίπτοντας τῶν ἰδίων. παντότε δὲ ὁ θεὸς οὗτος

1 τομὸν V. ἂν om. P. κτήσεται P. 2 Ἐὰν καταβιβάζων — τύχῃ καὶ] καταβιβάζοντος ὡροσκοποῦντος εἰ AV. δὲ καὶ P. 3 δίχα — θεωρίας] χωρὶς Ἀφροδίτης Διὸς AV. 4 πολλῶν γνωστὸς P. Post γὰρ] καὶ μέγας add. V : ἀστὴρ cum signo obscuro A. πολυκτήμων AV. 4-5 εἰ δὲ καὶ — κακὸν] εἰ δὲ μετὰ Ἡλίου καὶ Ἑρμοῦ, κακὸν τῷ πατρὶ AV. 6 γὰρ AV : δὲ P. καὶ (ante καταπλ.) om. AV. ὑπομείνει AV : ὑπομήνη P; corr. καὶ (ante Ζεὺς) om. AV. 7 μόνοι ἐπὶ τοῦ ὡροσκόπου καὶ τὸν καταβιβάζοντα P sed ἐπὶ τοῦ ὡροσκόπου glossa verbi ἐκεῖ esse videtur. κάκιστοι V. 7-8 τῷ τέχθεντι AV : τὸ γεννηθὲν P; corr. 8 συμπαρούσης αὐτοῖς (αὐτῆς A) καὶ τῆς Σελήνης AV. γὰρ AV : δὲ P. 10-16 cf. Firm. Mat., III, 2, 1-3. 10 Ὁ τοῦ Κρόνου P ; Κρόνος AV. ὡροσκοποῦντος ζῳδίου P : ὡροσκόπου AV. 11 τὰ om. P. τὸ γενήμενον P; cf. Firm. « faciet cum summo clamore edi partum ». 12-14 τῶν πρὸ αὐτοῦ — ἤτοι om. V. 12-13 ἢ — σπάνιν om. A. 12 τὸν ... ἀδελφόν P : corr. 13 σπάνιν vix sanum ; « a parentibus separatur » Firm. 14 πρωτωγενίους P; corr., cf. p. 136, 19 : πρωτοτόκους A, qui bis repet. : « primos nasci » Firm. ἤτοι scripsi : ἤ τις P. 15 νυκτὸς AV : κυρίων P : cf. Firm., p. 98, 4, sed aliqua post κυρίων fortasse desunt. τελεῖ AV : τελείους sic P. 15-16 νυκτὸς — πράξεις om. AV. παρύγροις P; cf. Firm. « circa aquam dabit actus », cf. p. 140, 13. 17-p. 136, 2 cf. Firm. Mat., III, 3, 1 et 3. 17 ὡροσκοποῦντος ζῳδίου P : ὡροσκόπου AV. 18 δοξαστικοῦ P : ἐνδόξους AV : « gloriosos » Firm. ἡγουμένους AV. δὲ καὶ om. AV. 19 ποιεῖ AV. τυχὼν — ποιήσει] ὧν ὁ Ζεὺς ποιεῖ AV. 20 ἢ suppl. πρὸ αὐτῶν ἀ. ἀναιρεῖ om. AV. 21 καλῶς τραφέντας AV. ἐν εὐδαιμονίᾳ AV : εὐδαιμονίαν P : « in maxima felicitate » Firm. ἀπολλύντας AV. 22 τὰ om. P. ἐκπίπτοντας τῶν ἰδίων P : ἐκτρώτους AV. ὁ θεὸς οὗτος P : Ζεὺς AV.

Digitized by Microsoft®

ἐπίκεντρος τυχὼν ποιεῖ πρωτοτόκους ἢ πρωτοτρόφους ἢ τῶν μειζόνων ἀδελφῶν ἀναίρεσιν.

Ὁ τοῦ Ἄρεως ἀστὴρ τῆς αἱρέσεως τυχὼν ἐπὶ τοῦ ὡροσκοποῦντος ζῳδίου πολεμάρχους, στρατιώτας, στρατοπεδάρχας, ζωῆς καὶ θανάτου κυρίους, βλοσυροὺς πόλεσι καὶ χώραις γεννήσει· παρ' αἵρεσιν δὲ τυχὼν ἐπὶ τοῦδε τοῦ τόπου θέρμους, παραβόλους, ξενιτεύοντας, ἐν ταῖς δόξαις ἀβεβαίους καὶ ἐν ταῖς ἐπιβολαῖς ἀποπίπτοντας καὶ μάλιστα τεχνίτας ἀποτελεῖ ἀπὸ πυρὸς ἢ σιδήρου ἢ τὸν βίον ἐν στρατείαις ἔχοντας.

Ἥλιος ἐπὶ τοῦ ὡροσκοποῦντος ζῳδίου ⟨Κρόνῳ⟩ ὁμόκεντρος τυχὼν βασιλεῖς ἢ ἡγεμόνας γεννήσει· ἐὰν δὲ ὁ τοῦ Ἄρεως συμπαρῇ ἢ κατὰ τετράγωνον ἢ διάμετρον στάσιν ἐπιθεωρήσῃ, μετὰ φθόνων καὶ κινδύνων καὶ πολέμων τὰς βασιλείας ἢ καὶ τὰς ἡγεμονίας ἕξοντας. νυκτὸς δὲ ὁ θεὸς οὗτος ἐπὶ τοῦ ὡροσκοποῦντος ζῳδίου τυχὼν ταπεινοτέρους τοὺς γονεῖς ἀποδείξει· ἐπὶ δὲ τοῦ προκειμένου τόπου ὑπὸ Κρόνου ἐπιθεωρηθεὶς ἢ Ἄρεως κατὰ τετράγωνον ἢ διάμετρον στάσιν ἢ καὶ τοῖσδε συσχηματισθεὶς ἀδελφῶν μειζόνων ἢ καὶ τῆς ζωῆς ἢ καὶ τῶν ὅλων ὑπαρχόντων τε καὶ πράξεων ὀλετὴρ γενήσεται· πάντοτε δὲ ὁ Ἥλιος ἐπιπαρὼν τοῖς ἐπικέντροις μέρεσι τῶν ζῳδίων μειζόνων ἀδελφῶν ἄχρηστος γενήσεται, τινὰς δὲ καὶ πρωτογενεῖς ἢ πρωτοτρόφους ὑπάρχοντας ἀποδείκνυσιν.

Ἡ Ἀφροδίτη τῆς αἱρέσεως τυχοῦσα ἐπὶ τοῦ ὡροσκοποῦντος ζῳδίου ἡμιθέους ταῖς διανοίαις γεννήσει, μεγάλους, μεγαλοφίλους, φίλους βασιλέων καὶ δυναστῶν πράγματα πιστευομένους, σοφιστὰς ἀγαθοὺς κατὰ τὴν τοῦ ζῳδίου ἰδιογενῆ φύσιν· ἔσονται γὰρ ἐν μὲν τοῖς ἀνθρωποειδέσι ζῳδίοις ἀρχιερεῖς χρυσοκόμητοι, κοσμοφόροι, τιμὴν

1 τυχὼν P : ὢν AV. μειζόνων P et A compendio : μικρῶν V : « maiores » Firm. 2 ἀναιρέσει ποίῃ P. 3-8 cf. Firm. Mat. III, 4, 2-3. 3-4 Ὁ τοῦ — ζῳδίου] Ἄρης ὡροσκοπῶν κατὰ αἵρεσιν AV. 4 πολεμάρχας στρατιώτας στρατοπεδάρχας AV : πολέμων ταραχὰς ἢ πόλεων μάχας P. sed ad AV propius accedit Firmicus. 5 Post κυρίους] στρατοπεδάρχας add. P. βλοσυροὺς P : φοβεροὺς AV. ποιεῖ AV. 5-6 τυχὼν ἐπὶ τ. τ. τόπου om. AV. 6 περιβόλους A : « audaces » Firm. 6-7 ἀβεβαίους ἐν ταῖς δόξαις AV. 7 ἐπιβουλαῖς sic P. τεχνὰς P. 8 στρατ(οῖς?) P. 9-12 cf. Firm. Mat., III, 5, 2. 9 Ἥλιος ἐπὶ — τυχὼν] Ἥλιος ὡροσκοπῶν κατὰ κάθετον AV. Κρόνῳ ex Firm. suppl. 10 ἢ om. AV. ποιεῖ AV. συμπαρῇ τῷ Ἄρει AV. 11 ἐπιθεωρήσῃ om. AV. 12 ἢ καὶ P : ἢ AV. ἕξουσι AV. 12-20 cf. Firm. Mat., III, 5, 11. 12 ἡμέρας δὲ V. 13 ὁ θεὸς — τυχὼν] οὗτος ὡροσκοπῶν AV. 14 τοῖς γονεῦσι P. δὲ P : γὰρ AV. 15 ἢ Ἄρεως θεωρηθεὶς AV. ἢ] καὶ P. τετράγωνον] signum trigoni P : « quadratum » Firm. 15-16 ἢ σχεματισθεὶς V : τοῦδε σχηματισθεὶς A. 17 γίνεται AV. 19 ἄχρηστος vix sanum : « debilitat » Firm. πρωτογενεῖς ἢ P : προτογεννήτους AV; cf. p. 135, 14. 21-p. 137, 11 cf. Firm. Mat., III, 6, 1 usque ad p. 143, 23. 21 οὖσα AV. 21-22 ὡροσκοποῦντος ζῳδίου P : ὡροσκόπου AV. μεγαλοφίλους P : καὶ μεγάλους φίλους V : καὶ μεγάλων φίλους A. 23 φίλους βασιλέων om. AV. καὶ P : ἢ AV. 24 ἰδιογενῆ φύσιν P : ἰδιοτροπίαν AV : « naturam qualitatemque » Firm. 25 ἀνθρωπομόρφοις (om. ζῳδίοις) AV. χρυσοκομῆται (sic) : χρυσὸν κοσμούμενοι AV; corr. κοσμοφόροι om. AV.

Digitized by Microsoft®

παρὰ θεῶν ἔχοντες, τὰ μέλλοντα προφοιβώμενοι, μέγιστοι τῷ βίῳ. ἐν δὲ τοῖς ἡμιφώνοις ζῳδίοις τυχοῦσα ποικίλους θηρευτάς, δραστικωτέρους, φίλους βασιλέων, μηχανωμένους ὅσα πρὸς θεωρίαν βασιλέων θαυμαστὰ ἀνῆκεν, ὀψωνιζομένους παρὰ βασιλέων καὶ ἐκ τούτου εὐδαιμονοῦντας· ἐν δὲ τοῖς χερσαίοις ἢ παρύγροις τυχοῦσα μυροποιητὰς ἢ καὶ ἱματίων εὐκόσμων κτήτας ἢ χρωματουργοὺς ἀποτελεῖ· ἐν δὲ τοῖς τετράποσιν ἐπισέμνους, φιλοδόξους, ἀγαθούς, φιλοτρόφους ζῴων <ἢ ζῴων> ἡγεμόνας ποιήσει· παρ' αἵρεσιν δὲ τυχοῦσα ἐπὶ τοῦ ὡροσκοποῦντος ζῳδίου πολυκοίνους, ἐπιψόγους, λάγνους, ἀσελγεῖς ποιήσει· γίνονται δὲ καὶ λινουργοὶ ἢ ἱματίων πλοκεῖς ἢ χρωμάτων ἢ βαμμάτων καὶ τροφῶν τινων ἢ ποτῶν εὑρεταί.

Ὁ τοῦ Ἑρμοῦ ἐπὶ τοῦ ὡροσκοποῦντος ζῳδίου ἡμέρας τυχὼν φιλοσόφους, γραμματικοὺς γεννήσει, <ἐσθ'> ὅτε δὲ καὶ ῥήτορας ἢ γεωμέτρας ἢ καὶ τῶν οὐρανίων μύστας ἢ καὶ θείων προσόδων ἀντεχομένους ἢ καὶ ἀπορρήτων πραγμάτων ἵστορας. θεωρηθεὶς δὲ ὑπό τινος τῶν τὴν αἵρεσιν ἐχόντων μεγάλους, στεμματοφόρους, βασιλέων πράγματα πιστευομένους ἀποδείκνυσιν. Ἄρεως δ' ἐπιθεωρήσαντος κατὰ διάμετρον ἢ τετράγωνον στάσιν ἢ καὶ κατὰ συμπαρουσίαν μοιρικὴν τρὶς κακὸς γενήσεται. ἐπὶ δὲ τριγωνικῆς στάσεως πραγματικώτερος καὶ ἀγαθώτερος ὁ τρόπος σοι νοείσθω. νυκτὸς δὲ ἐπὶ τοῦ ὡροσκοποῦντος ζῳδίου τυχὼν ἡμιθέους γεννήσεται ταῖς διανοίαις καὶ ταῖς ἐπιβολαῖς ἐπιτευκτικοὺς καὶ εὐσχήμονας τοῖς βίοις καὶ φροντίδων ἢ μισθώσεων

1 παρὰ AV : ὑπὸ P. θεοῦ AV. προφοιβόμενοι P (προφοιβάω pro προφοιβάζω dictum) : προφοβούμενοι AV : « qui futura praedicant » Firm.; cf. tamen infra p. 147, 14. μεγάλοι AV. 2 θηρευτάς] Leg. « venatores » pro « veneratores » apud Firm. 3 φίλους om. P. βασιλέων om. AV. 4 ἀνῆκεν om. AV. 5 τυγχάνουσα AV. 5-6 μυροποιητὰς P : μυρουργ(οὺς) V : μυρει (η superscr.) A : « qui odorum pigmenta faciant » Firm. 6 ἢ καὶ ἱμ. εὐκ. κτήτας om. AV : « qui magnificas vestes texant » Firm. qui πλοκεῖς (v. 10) legisse videtur. χρωματουργοὺς AV ; χρώματα γεννῶντας P : « tinctores » Firm. 7 ζωῆς AV. 8 ἢ ζῴων suppl.; cf. p. 151, 8 : « regis animalibus praepositos » Firm. Fuitne ἢ βασιλικῶν ζῴων ? ποιήσει om. AV. οὖσα AV. 8-9 ὡροσκόπου (om. ζῳδίου) AV. 9 ποιήσει om. AV: 10 λινουργοὶ — ἢ βαμμάτων] ἱματουργοί, χρωματουργοὶ καὶ μυρεψοί AV : « linteones aut plumarii aut colorum inventores atque tinctores » Firm. πλοκῆς P; corr. 12-p. 138, 2 cf. Firm. Mat. III, 7, 1-3. 12 ὁ τοῦ — ζῳδίου] ὁ δὲ Ἑρμῆς ὡροσκοπῶν AV. τυχὼν om. AV. 13 ποιεῖ AV. ἐσθ' suppl. 14 ἢ καὶ τῶν om. AV. μυστηρίων V. θείων AV : περὶ τινῶν P. 15 ἢ om. AV. 16 μεγάλως P : « magnos viros » Firm. 17 ἀποδείκνυσιν om. AV. θεωρήσαντος AV. 17-18 κατὰ — στάσιν] signa tetragoni et diametri AV. 18 καὶ om. AV. συμπαρισίαν μερηκὴν sic P. 19 τριγωνικῆς στάσεως P : signum trigoni AV. 19-20 πρακτικώτερος καὶ ἀγαθός AV fors. recte : « bonis ac prosperis actibus occupari » Firm. 20 συνοήσθη sic P. σοι om. AV. 20-21 ἐπὶ τοῦ — τυχὼν om. AV. 21 γένηται P : ποιεῖ AV. 22 φροντίδων pro λογισμῶν perperam substitutum ; cf. Firm. « rationibus praepositos ».

Digitized by Microsoft®

ἢ γραμματείων ἢ τελωνικῶν πράξεων ἀντεχομένους, τελείους κατὰ τὴν τοῦ Ζῳδίου φύσιν.

Σελήνη τῆς αἱρέσεως τυχοῦσα ἐπὶ τοῦ ὡροσκοποῦντος Ζῳδίου μηδενὶ τὴν συναφὴν ποιουμένη οὐκ ἀγαθὴ κριθήσεται· ὁμόκεντρος δὲ τοῦ ὡροσκοποῦντος τυχοῦσα ἀρχικούς, ἡγεμόνας, μεγιστᾶνας, βασιλεῖς γεννήσει, τοῦ Ἄρεως των ἐναντίων αὐτῇ τόπων <μὴ> μετέχοντος μηδὲ τοῦ Κρόνου αὐτῇ συμπάροντος, μήτε κατὰ διάμετρον μήτε κατὰ τετράγωνον αὐτῇ στάσιν τυγχάνοντος. ἐπὶ γὰρ τῶνδε τῶν σχημάτων ὑπὸ τούτων οὕτως θεωρηθεῖσα ἢ καὶ ὑπὸ ἑκατέρου τῶν δυοῖν ἀχρόνους ἢ καὶ ἐκθέτους ἢ βιοθανάτους ποιήσει κατὰ τὴν τοῦ τόπου φυσικὴν ἐνεργείαν Ζῳδιακῷ· τῆς αἱρέσεως ἐπὶ τοῦ ὡροσκοποῦντος Ζῳδίου τυχοῦσα ἱεροπράκτους ἢ ἀρχιερεῖς ἢ ἱερῶν ἀγωνοθέτας ἢ ἐν ἱεροῖς τὰς πράξεις καὶ δωρεὰς ἔχοντας γεννήσει, ἐάνπερ ὑπὸ τῶν τῆς αἱρέσεως ἀστέρων δορυφορουμένη τύχῃ· ἡ δὲ δορυφορία ἐστὶ τῆς Σελήνης εἰς τὸ ἔμπροσθεν μέρος, ὅ ἐστιν ἑσπέριον, ὑπαρχούσης, <εἰ> οἱ ἀστέρες ἑπόμενοι τύχωσι· τὸν γὰρ Ἥλιον οἱ ἀστέρες δορυφοροῦσιν κατὰ τὰς ἑῴους φάσεις, τὴν δὲ Σελήνην, ὡς προείρηται, κατὰ τὰς ἑσπερίους. καθολικῶς δὲ κενοδρομοῦσα <ἡ> Σελήνη ἐπὶ τῶν ἀναγκαίων τόπων πάσης γενέσεως οὐκ ἀγαθὴ γενήσεται. συνεπικρινεῖς δὲ ἐπὶ ποίου τόπου τῆς γενέσεως τυχοῦσα ποίαν κεκλήρωται φάσιν· ἐπὶ γὰρ τοῦ ὡροσκοποῦντος Ζῳδίου ἡμέρας μὲν ὁμόκεντρος τυχοῦσα κυβερνήτας ἢ πειρατὰς ἢ δυσβάτων τόπων ἡγεμόνας γεννήσει· ὑπὸ δὲ τοῦ Ἄρεως κατὰ συμπαρουσίαν βλεφθεῖσα ἢ κατὰ διάμετρον ἢ τετράγωνον στάσιν σινῶν τε καὶ παθῶν παραιτία γενήσεται ἢ καὶ τὸ καθόλου ἄχρονον καὶ βιοθάνατον ποιήσει.

1 τελωνικῶν P : « vectigalium » Firm. : δαιμονικῶν AV. Byzantinis τελώνια sunt daemones aerei 1-2 τελείους κατὰ τ. τ. Ζῳδίου φύσιν P : κατὰ τὴν τοῦ τελείου φυσικὴν μείωσιν AV : « differentiam qualitatemque signorum » Firm. τελείους vix sanum. 3-4 τῆς αἱρέσεως — ποιουμένη] Σελήνη ἐπὶ αἱρέσεως ὡροσκοποῦσα μηδενὶ συνάπτουσα AV. Post Ζῳδίου verbum erasum P. 4 ποιουμένην P. ἀγαθῶς V : ἀγαθὸς A. 5 ὡροσκόπου AV. 6 ὁ τοῦ P. 6-8 τῶν ἐναντίων — τυγχάνοντος] μὴ ὄντος αὐτῇ (αὐτοῦ V) διαμέτρου μηδὲ τοῦ Κρόνου συμπάροντος ἢ τετραγώνου ἢ διαμέτρου αὐτῇ AV. 6 αὐτῆς P. μὴ suppl. 7 μηδὲ μὴ Κρόνου P (μὴ ex v. 6 transp.). 8 αὐτῆς P. ἐπὶ AV : ὑπὸ P. 8-11 cf. Firm. Mat., III, 13, 2 (p. 187, 14). 8-9 τῶν σχημάτων τούτων ἤτοι ὑπὸ τοῦ ἑνὸς ἢ ὑπὸ τῶν δύο βλαβεῖσα AV. 9 θεωρηθήσαν sic P. ἑκατωτέρου P. 10 καὶ om. AV. ἢ βιοθανάτους om. AV. ποιεῖ AV. 10-11 τὴν τῶν Ζῳδίων φύσιν AV. 11 Ζῳδιακῶς P : om. AV. 11-14 τῆς αἱρ. — δορυφορουμένη τύχῃ] ποιεῖ δὲ καὶ ἀρχιερεῖς ἀγωνοθέτας ἐάνπερ ὑπὸ τῶν συναιρητικῶν δορυφορεῖται AV. 12 Leg. ἱεροπράκτορας? 14-17 ἡ δὲ δορυφορία — ἑσπε- ρίους om. AV; fort. interpolata. 14 ἡ corr. : εἰ P. 15 εἰ suppl. 18 δὲ AV : γὰρ P. ἡ suppl Σελήνη om. P. τῶν om. AV. 19 πάσης γενέσεως om. AV. γενήσεται P : ἐστι AV. 19-25 συνεπικρινεῖς — ποιήσει om. AV. 19 συνεπικρίνεις P ; corr. 20-22 cf. Firm. Mat., III, 13, 1-2. Nautas gignit Luna, quia ipsa navis est caelestis; veterem hanc opinionem servaverunt e.g. Manichaei. 21 Leg. <Διὶ> ὁμόκεντρος? 23 συμπαρρισίαν ληφθήσει P; dubitanter corr. στάσει P. 24 γενήσονται P.

Digitized by Microsoft®

Περὶ τοῦ δεύτερου τόπου.

Ὁ δεύτερος τόπος καλεῖται βίος καὶ Ἅιδου πύλη[1] καὶ ἀργὸς τόπος· ἐν τούτῳ τῷ ζῳδίῳ ἀργότεροι μένουσιν οἱ ἀγαθοποιοί, πλὴν τὰ ἐλπιζόμενα καλὰ ἀποτελοῦσι[2] καὶ ἀπὸ νεκρικῶν πραγμάτων ἐλπίδας παρέχουσι, καθὸ ὁ τόπος ἐπαναφορὰ καθέστηκεν τοῦ ὡροσκόπου. οἱ δὲ κακοποιοὶ παρόντες τῷ τόπῳ ποιοῦσι ἀπράκτους καὶ νωχελεῖς καὶ σίνη περὶ τὰς ὄψεις. ἐὰν δὲ ὁ κλῆρος τῆς τύχης ἐκεῖ ᾖ καὶ ὁ κύριος αὐτοῦ καὶ ὁ οἰκοδεσπότης τοῦ ὡροσκόπου, οὗτοί γε κακοποιοὶ ὄντες, ἐπιθεωρήσωσι τὸν τόπον, νεκροφύλακας ποιοῦσι καὶ τὸν βίον ἔξω τῆς πόλεως διατελοῦντας· οἱ τοιοῦτοι δὲ καὶ κυνόβρωτοι γίνονται· ἔσθ' ὅτε δὲ καὶ ὑπὸ γονέων ἐκβάλλονται.

Ὁμοίως ὁ Κρόνος ἐπιπαρὼν τῷ τόπῳ καὶ οἰκοδεσποτῶν τὸν κλῆρον τῆς τύχης ἢ καὶ τὸν ὡροσκόπον νεκροψύχους, νοσεροὺς ἀποτελεῖ ** ἢ καὶ λῆψιν χρημάτων ποιήσουσιν.

Ὁ δὲ τοῦ Ἄρεως οἰκοδεσπότης ὢν τοῦ κλήρου τῆς τύχης ἢ καὶ τοῦ ὡροσκόπου καὶ ἐπιπαρὼν τῷ δευτέρῳ τόπῳ ποιεῖ ἀποβολὰς καὶ

1 **P**, f. 97; **A**, f. 8; **V**, f. 29. Περὶ τ. δ. τόπου P : Δεύτερος τόπος AV. 1-14 cf. Vettium Val., II, p. 68, 10-15. 2 τόπος (alter.) om. AV; cf. Firm., II, 19, 3 « piger locus ». 3 τῷ ζῳδίῳ om. AV. μαίνουσι P : εἰσὶν AV. ἀγαθοὶ AV. 4-5 παρέχουσι om. AV. 5 ὁ τόπος om. AV. ἐπαναφορὰν P. καθέστηκεν P : ἐστι AV. 6 παρόντες τῷ τόπῳ om. AV. νωχελεῖς ἀπράκτους AV. 7 παρὰ P. 7-8 ὁ κύριος τύχης (τύχη V) ἐκεῖ ᾖ καὶ ὁ κύριος αὐτοῦ AV : ὁ κύριος τοῦ κλήρου τοῦ τόπου ἐκεῖ παρῆν καὶ ὁ κλύρος (sic) τῆς τύχης ἐκεῖ ἐστιν P ; cf. Val., p. 68, 14. 8 ουτοι δὲ P ; corr. : om. AV. 9 ἐπιθεωρήσουσιν P : θεωρήσωσιν AV. τὸν τόπον om. AV. 9-11 καὶ τὸν βίον — ἐκβάλλονται] καὶ κυνοβρώτους καὶ ἀποκηρύκτους τῶν γονέων AV. 10 πόλεως] πύλης Valens; quod ad nomen loci « portam infernam » convenire videtur; de his loquitur qui extra portam urbis circa sepulcra degunt. 12 ὁμοίως Κρόνος ἐπιπαρὼν P : εἰ ὁ Κρόνος δὲ παρῇ (παρῆν A) τῷ β' AV. οἰκοδεσπότ(ης) A : οἰκοδεσποτῇ V. τὸν κλῆρον om. AV. 13 ἢ τοῦ ὡροσκόπου AV. 13-14 ἀποτελεῖ — ποιήσουσιν] ποιεῖ καὶ πτωχοὺς AV. Lacunam signavi, nam quae sequuntur non ad Saturnum pertinent sed ad Iovem, cf. Vett. Val., 68, 19. 14 λῆψιν. Leg. ἀνάλωσιν, ut apud Val., vel ἔκλειψιν? 15-16 ὁ δὲ Ἄρης ὡσαύτως τυχὼν ποιεῖ AV.

[1] Cf. Paul. Alex., L. 2, v. 19 : Τὸ δὲ β' ἀπὸ ὡροσκόπου καλεῖται βίος καὶ Ἅιδου πύλη καὶ ἐπαναφορὰ τοῦ ὡροσκόπου; Vett. Val., p. 68, 9; Firm. Mat., II, 17 : « Qui locus inferna porta dicitur vel anafora (leg. epanafora) »; II, 19, 3 : « Ideo inferna appellatur porta quod nulla cum horoscopo radiatione coniungitur. » Haec explicatio absurda est. Cur revera secundus locus « inferorum porta » vocetur, sicut Occidens « ianua Ditis » apud Manilium dicitur, vide in *Revue de philologie*, 1918, t. XLII, p. 71 et *Comptes-rendus Acad. Inscr.*, d. 13 Aug. 1920.

[2] Cf. Hermet. Trism. apud Thrasyllum, *Catal.*, VIII, 3, p. 117, 2 : τὴν δὲ ἐπαναφορὰν ἐλπίδων σημαντικήν et Antiochum, *ibid.*, 117, 2; Firmic. Mat., II, 19, 3 : « Ex hoc loco spei ac possessionis incrementa noscuntur »; Paul. Alex., *l. c.* : ἀγαθῶν ἐλπίδων δοτὴρ καθέστηκεν.

Digitized by Microsoft®

ἀντιπτώματα πλεῖστα τῷ γεννωμένῳ, ἔσθ' ὅτε καὶ περὶ τὰς ὄψεις σῖνος ποιεῖ. ἐὰν δὲ Ἀφροδίτης εὑρεθῇ οἴκῳ, καὶ ἀπὸ γυναικῶν βλαβὰς ἕξει καὶ πρὸς τὴν φύσιν τοῦ ἀστέρος οὗ ἐστι τὸ ζῴδιον, ἀποκρίνου τὴν βλάβην. ἐὰν δὲ εὑρεθῇ καὶ Ἄρης ἐν ἰδίῳ προσώπῳ **, ἔσθ' ὅτε δὲ καὶ δεσμοφύλακες γίνονται ἢ ἀπὸ καρκάρων τὸν βίον ἕξουσι.

Ἐὰν δὲ ὁ Ἥλιος ἐπιπαρῇ τῷ ζῳδίῳ οἰκοδεσποτῶν τὸν κλῆρον τῆς τύχης ἢ τὸν ὡροσκόπον κατὰ μοῖραν προσώπῳ ἰδίῳ, τοῦ Ἄρεως ὄντος ἐν τῷ ὡροσκόπῳ ἐν Κρόνου ζῳδίῳ, ὁ γεννώμενος ἀπολεῖ τὴν ὅρασιν ἐν τοῖς τοῦ Ἄρεως χρόνοις καὶ ἐπαιτήσει ἢ καὶ τῶν πατρῴων στερηθήσεται.

Ἐὰν δὲ ὁ τῆς Ἀφροδίτης ἐπιπαρῇ τῷ τόπῳ οἰκοδεσποτῶν τὸν κλῆρον τῆς τύχης ἢ τὸν ὡροσκόπον, οἱ γεννώμενοι ἀποδημήσουσιν ἢ ἐφ' ὑγρῶν τὰς πράξεις ἕξουσιν, ἐάν ἐστιν ἑῴα ἀνατολική. ἐὰν δὲ ἑσπερία ὑπάρχῃ, ἐν ἱεροῖς θηλυκῶν <θεῶν> καταφεύγουσιν εὐπορούμενοι τῶν δεόντων ἢ μυστήρια θεῶν ἢ καὶ τελετὰς περιποιοῦνται· τὸ δὲ γῆρας ἀγαθὸν ἕξουσι.

Ἐὰν δὲ καὶ ὁ τοῦ Ἑρμοῦ ὕπαυγος ὢν ἐπιπαρῇ τῷ τόπῳ, ἀμυήτους ποιεῖ καὶ ἀγραμμάτους. ἐὰν δὲ ἀνατείλῃ, οἱ τοιοῦτοι εὐμαθεῖς, περίεργοι γίνονται καὶ ἐπιχειροῦνται ἃ οὐκ ἔμαθον· γίνονται δὲ καὶ ἐπιτευκτικοὶ ἐν τοῖς μαθήμασιν.

Ἐὰν δὲ Σελήνη παρῇ ἐν τῷ δευτέρῳ τόπῳ καὶ τοῦ Κρόνου ὡροσκοποῦντος, ὑποχυθήσεται τοὺς ὀφθαλμοὺς ὁ τοιοῦτος.

Ἐὰν κακοποιὸς ἐπίδῃ τὸν δευτέρον τόπον κατὰ τετράγωνον ἢ διάμετρον ἢ συμπαρῇ ἔκπτωσιν βίου σημαίνει τῷ γεννηθέντι· καὶ εἰ μὲν

1 πλεῖστα om. AV. τῶν γενομένων P. ἔσθ' ὅτε om. AV. 1-2 δὲ πολλάκις σῖνος (sine ποιεῖ) AV. 2 οἶκος P, corr. 2-4 ἐπὶ δὲ Ἀφροδίτης οἴκου ἀπὸ γυναικῶν ἔσται ἡ βλάβη καὶ κατὰ τὸν ἀστέρα οὗ ὁ (ὁ om. V) οἶκος ἔσται ἡ βλάβη AV. 3 Leg. τοῦ ζῳδίου οὗ (= ubi) ἐ. ὁ ἀστήρ? 4-5 ἐὰν δὲ — ἕξουσι om. AV. 4 Lacunam signavi. 5 καρκάρων corr. Kroll (Vett. Val., p. 68, 26) : κακὸν P. 6-7 ἥλιος δὲ ἐν τῷ β' ὢν οἰκοδεσπότης τοῦ κλήρου ἢ τοῦ ὡροσκόπου AV. 6 παρὸν P; corr. ex Val.; cf. v. 11, 17. 8 γενόμενος P. ἀπολὴ (sic) τὴν ὥρασιν P : τυφλοῦται AV 9 ἐπαιτήσει AV Val. : ἐπέτην P. ἢ om. AV. 9-10 στραθήσεται V. 11-12 Ἀφροδίτη δὲ τῷ β' οὖσα τόπῳ οἰκοδεσπότης τῆς τύχης ἢ τοῦ ὡροσκόπου AV. 12-13 ὁ γεννώμενος ἀποδημήσει ἢ ἐφ' ὑγρῶν τὰς πράξεις ἕξει AV : γενόμενοι δι' ὑγρῶν τὰς πράξεις ἕξουσιν P; cf. p. 135, 16 14 ὑπάρχῃ om. AV. ἱερεῖς θυλικῶν P : ἱερεῖς θηλείοις A : ἱεροῖς θηλείοις V; corr. θεῶν suppl. 14-15 εὐπορ. τῶν δεόντων om. AV. 15 καὶ om. AV. περιποιοῦντες AV. 17-19 Ἑρμῆς δὲ ἐν τῷ β' ὢν ὕπαυγος ἀγραμμάτους ποιεῖ. ἀνατολικὸς δὲ εὐμαθεῖς περιέργους ἐπιχειροῦντας AV. 17 ἀμυήτους] ἀνοήτους Val. (p. 69, 4). 18 ἐπιμαθεῖς P vix recte. 19 cf. infra p. 144, 5. γίνονται δὲ καὶ ἐπιτευκτικοὶ P : ἐπιτευκτικοὺς AV, cf. Val. 21 Σελήνη δὲ παροῦσα τῷ β' τόπῳ Κρόνου AV. 22 ὑποχυθήσεται corr. ex Val. (p. 69, 9): ὑποχηθήσεται P : ὑποδειχθῆναι AV. ὁ τοιοῦτος om. AV. 23-p. 141, 2 ἐὰν Κρόνος Ἄρης τὸν β' τόπον ἴδῃ τετράγων(ος) ἢ διάμετρ(ος) ἢ συμπαρὼν ἔκπτωσις βίου ἔσται· εἰ δέ ἐστιν ὁ β' τόπος (τόπος om. A) ἀφροδίτης οἶκος ζημιωθήσεται ὁ τοιοῦτος διὰ γυναικῶν (γυναῖκα A) AV.

Digitized by Microsoft®

ὁ δεύτερος τόπος ἐστιν οἶκος Ἀφροδίτης, ὁ τοιοῦτος ζημιωθήσεται χάριν γυναικῶν ἢ διὰ γυναικῶν· εἰ δὲ οἶκος Ἑρμοῦ, χάριν γραμμάτων ἢ ψήφων ἢ κληρονομιῶν ἢ χωρισμῶν· εἰ δὲ οἶκος Διός, παρὰ μεγιστάνων ἢ δημοσίων πραγμάτων τὴν βλάβην ἕξει· εἰ δὲ οἶκος Ἄρεως, λέγε τὴν βλάβην ἀπὸ στρατιωτικῶν πραγμάτων ἢ προσώπων τοιούτων ἢ πολέμου ἢ ἐμπρησμοῦ ἢ μάχης ἢ ἁρπαγῆς ἢ λῃστρικῶν ἢ ἐφοδικῶν προσώπων· εἰ δὲ οἶκος Κρόνου, λέγε τὴν βλάβην ἀπὸ γερόντων ἢ δούλων ἢ ἀπελευθέρων χάριν γῆς ἢ κληρονομίας ἢ τάφων ἢ νεκρικῶν πραγμάτων ἢ ἐξ εὐτελῶν προσώπων· εἰ δὲ Ἡλίου οἶκος ᾖ, τὴν βλάβην ποιήσει ἀπὸ πατρὸς ἢ πατρώων ἢ προγόνων ἢ χάριν δανείων ἢ χρημάτων τινῶν ἢ πράξεων. ἐὰν δὲ Σελήνης οἶκος ᾖ, χάριν μητρὸς ἢ μητρικοῦ γένους ἢ μητρυιᾶς ἢ τῶν τοιούτων προσώπων.

Ἐμοὶ δὲ δοκεῖ καὶ ἐπὶ ἑκάστου οἴκου καὶ τόπου βλαπτομένου ὑπὸ κακοποιοῦ ἀποφήνασθαι τὴν βλάβην κατὰ τὴν φύσιν τοῦ οἰκοδεσπότου τοῦ ζῳδίου καθ' ὃ ὁ κακοποιός ἐστιν, καὶ τὰ σημαινόμενα ἀπὸ τοῦ τόπου. εἰ δὲ θέλεις λαβεῖν καὶ κλῆρον βίου, κατὰ Δωρόθεον λάμβανε πάντοτε νυκτὸς καὶ ἡμέρας ἀπὸ οἰκοδεσπότου τοῦ δευτέρου τόπου ἐπ' αὐτὸν τὸν τόπον τὸν δεύτερον, καὶ τὰ ἴσα ἀπόλυε ἀπὸ τοῦ ὡροσκόπου, καὶ ὅπου ἂν ἐκπέσῃ ὁ κλῆρος, σκόπει τὸν κύριον τοῦ κλήρου καὶ αὐτὸ τὸ ζῴδιον ἐν <ᾧ> ὁ κλῆρος ἐνέπεσεν, καὶ εἰ καλῷ τόπῳ ἔτυχεν ὁ κλῆρος καὶ ὁ κύριος αὐτοῦ δίχα τῆς τῶν κακοποιῶν ἀκτινοβολίας, καλὸν τὸν βίον λέγε· εἰ δὲ εὑρεθῇ ὁ κύριος τοῦ κλήρου ἑῷος δυτικός, μετὰ ἑπτὰ ἡμερῶν γενήσεται, <εἰ δὲ> ἑῷος ἀνατολικός, κρυπτὸν καὶ λαθραῖον πλοῦτον ποιήσει.

2-3 εἰ δὲ Ἑρμοῦ οἶκος διὰ ψηφοὺς ἢ κληρονομίας ἢ χωρισμοὺς γραμμάτων AV. 2 πραγμάτων P, corr. 3 χειριγμῶν P. Possis χειρισμῶν, sed hereditates memorantur quia Mercurius deus est mortuorum, discessus, quia itinerum. 3-4 εἰ δὲ Διὸς οἶκος διὰ μεγιστᾶνας ἢ δημόσια πράγματα ἡ βλάβη ἔσται AV. 4-5 λέγε τὴν βλάβην om. AV. 5-7 πραγμάτων — προσώπων] προφάσεων ἢ ἐμπρησμῶν ἢ μάχης ἔσται ἡ βλάβη AV. 7 λέγε τὴν βλάβην om, AV. ἀπὸ P : διὰ AV. 8 τάφων AV : τόχου (sic) P. 9 ἐξ om. AV. 9-10 οἶκος Ἡλίου ἡ βλάβη γίνεται AV. ἦν P; corr. 11 τινῶν om. AV. 12 ᾖ corr. : ἦν P : om. AV. 12-13 μητρικοῦ γένους ἢ μητρυιᾶς AV : γένους μ(ητ)ριῶν ἢ μ(ητ)ριὰν P. 12 ἢ τοιούτου τινὸς AV. 13-24 aliunde petita et interpolata sunt, sed, opinor, ab ipso Rhetorio. 13 ὅτι καὶ AV. 13-14 ἀπὸ κακοποιοῦ P : ὑπὸ Κρόνου Ἄρεως AV. 14 ἀποφήνασθαι τὴν βλάβην P : τὴν βλάβην γίνεσθαι AV. 14-15 τοῦ οἰκοδ. τοῦ ζῳδ. φύσιν AV. 15 καθ' ὃ — ἐστιν] ἔνθα ὁ κλῆρος ἔστηκε AV. 16 εἰ δὲ θέλεις λαβεῖν καὶ om. AV. κλήρου V. κατὰ Δωρόθεον om. P, qui nomina auctorum ubique suppressit (p. 116). Omnino diversa de « sorte vitae » invenies *Catal.*, I, p. 170, 2. 16-17 λάμβανε πάντοτε om. AV. 17 καὶ ἡμέρας (signum Solis A) καὶ νυκτὸς ἀπὸ τοῦ κυρίου τοῦ β' τόπου ἐπ' αὐτὸν τὸν β' AV. 18 ἀπόλυε om. AV. τοῦ om. P. 19-23 καὶ ὅπου ἂν — γενήσεται om. AV. 20 ᾧ suppl. 23-24 ἐὰν εὑρεθῇ ὁ κύριος τοῦ κλήρου μετὰ ζῳδίου (ζῳδίων V) ἡμέρας ποιῶν ἑῷαν ἀνατολὴν κρυπτὸν πλοῦτον ἕξει AV. 23 εἰ δὲ suppl., sed post γεν. verbum aliud deest. 23-24 κρυπτῶν καὶ λαθραίων P.

Digitized by Microsoft®

Ἐὰν δὲ ὁ Ἀναβιβάζων ἐν τῷ βίῳ εὑρεθῇ καὶ ἐκεῖ τύχωσι Ζεὺς καὶ Ἀφροδίτη <καὶ> Ἥλιος [καὶ Σελήνη] καὶ Ἑρμῆς, ὑπάρχοντα κτήσεται καὶ πίστος ἔσται καὶ φιλάργυρος· εἰ δὲ Κρόνος <καὶ> Ἄρης καὶ Σελήνη ἐπιθεωρήσωσιν αὐτοῖς, ἐν νεότητι ἀκαταστατήσει καὶ ἀποκαταστήσεται καὶ κακοπαθήσει ἕως ὑπερβῇ ἔτη λε'· μετὰ δὲ ταῦτα ἀπαλλαγήσεται καὶ ὑπάρχοντα κτήσεται. εἰ δὲ Κρόνος καὶ Ἄρης ἐκεῖ τύχωσι μόνοι δίχα Διὸς καὶ Ἀφροδίτης ἐπιθεωρίας, ἀτύχης ἔσται· ἐσθ' ὅτε καὶ κακομόρως τελευτᾷ. ἐὰν δὲ ὁ Καταβιβάζων ἐν τῷ βίῳ εὑρεθῇ, τῷ πατρὶ κάκιστον ἔσται· ζημίας γὰρ καὶ συκοφαντίας ἕξει. εἰ δὲ Κρόνος καὶ Ἄρης ἐκεῖ τύχωσι, κάλλιστον τὸ σχῆμα. ὑπάρχοντα γὰρ κτᾶται ἀπὸ πραγμάτων δυσκόλων καὶ φόνων καὶ νεκρικῶν πραγμάτων ἢ καταλύσεως οἰκίας ἀπὸ πράγματος ἀδοκήτου. εἰ δὲ Ζεὺς καὶ Ἀφροδίτη ἐκεῖ τύχωσι, οὐδὲν κτᾶται ἀλλὰ κακοτυχὴς ἔσται.

Ἐπὶ δὲ τῆς ἀναφορᾶς τοῦ ὡροσκοποῦντος ζῳδίου <νυκτὸς> Κρόνος τυχὼν ἔκλειψιν παίδων καὶ ταραχὰς οὐκ ὀλίγας ποιήσει καὶ ἔκπτωσιν βίου καὶ ὑποδειγματισμοὺς καὶ πατρικῶν καὶ μητρικῶν ἀποβολάς· καὶ νωχελεστέρους ταῖς πράξεσιν ἀποτελεῖ, τινὰς δὲ καὶ πάθεσι σωματικοῖς περιτρεπομένους. ἡμέρας δὲ αὐξητικοὺς τοῖς βίοις κατὰ πρόβασιν γιγνομένους ποιήσει, ἀνεπιφαντικοὺς δὲ καὶ πενιχροὺς ταῖς ψυχαῖς, τινὰς δὲ καὶ ἀπὸ παρύγρων βιοῦντας.

Ἐπὶ δὲ τῆς ἀναφορᾶς τοῦ ὡροσκόπου Ζεὺς τυχὼν ἀποτελεῖ κληρο-

1-6 Ἐὰν δὲ Ἀναβ. — ὑπάρχοντα κτήσεται] ἐὰν δὲ Ἀναβιβάζων ἐν τῷ κλήρῳ εὑρεθῇ τοῦ βίου σὺν Διὶ Ἀφροδίτῃ Ἡλίῳ Σελήνῃ Ἑρμεῖ πλούσιος ἔσται καὶ πιστός, φιλάργυρος δέ· εἰ δὲ Κρόνος Ἄρης Σελήνη τούτοις συμμαρτυροῦσιν ἐν νεότητι, ἀκαταστατήσει ἕως ἐτῶν λε'. μετὰ ταῦτα δὲ εὐτυχήσει AV. 1 δὲ om. P. καὶ ἐκεῖ corr. : κακὴ cod. 2 καὶ Σελήνη del.; cf. v. 3. 3 καὶ suppl. 4 ἐναι ὥτητι sic P. Leg. ἀποκατασταθήσεται? 6 καὶ om. AV. 6-8 ἐκεῖ τύχωσι — τελευτᾷ] ἄνευ Διὸς Ἀφροδίτης μαρτυρίας μόνοι ἐκεῖ τύχωσιν ἀτυχὴς ἔσται καὶ βιοθάνατος ἔσθ' ὅτε AV. 7 κακὼ μῶρω sic P. 8 κλήρῳ τοῦ βίου AV. εὑρεθῇ P : ᾖ AV. 8-9 κακὸν ἔσται AV : κακίστῳ P sine ἔσται. 9 γὰρ AV : δὲ P. καὶ om. AV. 10 ὦσι, καλὸν AV. ὑπαρχ. — κτᾶται] πλουτήσει γὰρ AV. 11 ἀπὸ φώνων sic P. νεκρικῶν πραγμάτων P : νεκρῶν AV. κατὰ λύσεως A : καταλύσει V: καταλήσεως P. 12 ἀπὸ πράγματος ἀδωκήτου P : ἀπροσδοκήτως AV. καὶ om. AV. 12-13 οὐδὲν — ἔσται] δυστυχεῖ V : δυστυχῇ A. 13 κακότυχως ἔσται (sic) P; corr. Fort. κακοτυχήσει. 14-20 cf. Firm. Mat., III, 2, 4 et 6. 14-17 Κρόνος δὲ ἐν τῷ β' (βίῳ V) ὢν σπανοτεχνίαν (-νίας V) καὶ ταραχὰς ποιήσει καὶ ἔκπτωσιν βίου καὶ γονικῶν (γονέων V, sed cf. p. 149, 16) ἀποβολὴν καὶ νωχελεῖς ταῖς πράξεσι. τινὰς δὲ καὶ ἐμπαθεῖς AV. 14 νυκτὸς Κρόνος om. P. 15 ἔκλειψιν corr., cf. p. 143, 8: ἔκκλυψιν P : « filiorum interemptor » Firm. 16 ὑποδειγματισμούς non capio. 18-19 ἡμέρας δὲ τὸν βίον τῶν ἀνθρώπων αὔξει τῷ χρόνῳ. πενιχροὺς δὲ ταῖς ψυχαῖς καὶ ἀνεπιφάντους. 18 αὐξητικῆς P; corr. 20 ὑγρῶν AV. ποιοῦντας P. 21-p. 143, 2 cf. Firm. Mat., III, 3, 4. 21 Ζεὺς δὲ ἐν τῷ β' ὢν ἀποτελεῖ AV. Ζεὺς om. P. 21-p. 143, 1 κληρονόμοι P.

Digitized by Microsoft®

νόμους ἀλλοτρίων καὶ υἱοθετημένους ὑπό τινων καὶ ἐγγαίων καὶ θεμελίων κυρίους ἡμέρας καὶ νυκτός.

Ἐπὶ δὲ τοῦ βίου ἡμέρας ὁ τοῦ Ἄρεως τυχὼν ἀλλοτριώσεις τῶν ἰδίων καὶ ξενιτείας ποιεῖ· αὐτοῖς δὲ τοῖς γεννωμένοις σίνη ποιεῖ καὶ τομὰς σιδήρου. ἐὰν δὲ καὶ ἡ Σελήνη ἐπὶ τῶν κέντρων καὶ τῶν ἐπαναφορῶν καὶ <τῶν> ἐπικαταφορῶν τύχῃ, σινώσει τοὺς γεννωμένους ἀπὸ ὕψους ἢ τετραπόδων φύξεως, τινὰς δὲ ἐκθέσεως ἢ καὶ αἰχμαλωσίας ἢ καὶ ὑποταγῆς πειρωμένους <ποιεῖ>· γίνονται καὶ ἐκλείψεσιν καὶ στενοχωρίαις οὐ ταῖς τυχούσαις. ἐὰν δὲ ὁ τοῦ Διὸς ἢ ὁ τῆς Ἀφροδίτης τοῦτον ἐπιμαρτυρήσῃ, τοὺς ἐπιφερομένους κινδύνους διεκδραμοῦνται καὶ τὰς ὑποταγὰς διεκφεύξονται· τῶν μὲν βίῳ δεόντων οὐκ ἀπορήσουσι, ἀλλ᾽ ὅτε μὲν ἕξουσι, ὅτε δὲ θλιβήσονται. νυκτὸς δὲ στρατίαις καὶ ἀθλήσεσιν ἕτοιμος ὁ θεός, ἐπισφαλεῖς δὲ καὶ αὐτοὺς ταῖς πράξεσιν καὶ ταῖς δόξαις ἀποτελεῖ.

Ἐπὶ δὲ τῆς ἀναφορᾶς τοῦ ὡροσκόπου τυχὼν ὁ Ἥλιος ἰδιοκτήμονας ἀποτελεῖ καὶ ἡδυβίους.

Ἐπὶ δὲ τοῦ βίου τυχοῦσα ἡ Ἀφροδίτη ἡμέρας ἐναντιώσεις ἢ καὶ ὀψιγαμίας ἀποτελεῖ καὶ κρίσεις πρὸς θηλυκὰ πρόσωπα· τινὲς δὲ καὶ θάνατον γυναικῶν ὁρῶσιν, πλὴν οὐ κακοβίους τελεῖ ἐν γήρᾳ. νυκτὸς δὲ κτητικωτέρους καὶ κατὰ πρόβασιν εὐτυχεστέρους καὶ ἡδεῖς κατὰ <τὰ> ἀφροδίσια καὶ ἐπιχαρεῖς τοὺς γεννωμένους ἀποτελεῖ.

1 τινῶν P : τινὸς AV : « ab extraneis » Firm. Leg. ξένων? ἐγγύων AV : ἐγγυίων vel ἐγγαίων P : « magnorum mobilium » (lege « immobilium ») Firm. 2-3 Καταβιβάζ(οντος) (signo astrol.) καὶ νυκτὸς (item) ἐπὶ δὲ τοῦ βίου ἡμέρας (item) ὁ τοῦ Ἄρεως τυχὼν P : ἡμέρας καὶ νυκτὸς (signis astr.) Ἄρης δὲ ἐν τῷ βίῳ ὢν ἡμέρας A : ἡμέρας δὲ καὶ νυκτὸς (signis astrol.) Ἄρης ἐν τῷ βίῳ ὢν V ; cf. v. 12 (νυκτὸς δὲ). Quamvis βίου, βίῳ hic et infra ex $β^{ου}$ $β^{ω}$ (δευτέρου, δευτέρῳ) orta esse possint, credo secundum locum hic βίον vocari, sicut tertius θεά, nonus θεός appellatur etc. 3-14 Firmic. Mat., III, 4, 5-6. 4 δηλοῖ AV. αὐτῆς δὲ τῆς γενομ(ένης) P : καὶ (cet. om.) AV. ποιεῖ om. AV. 5-9 ἐὰν δὲ καὶ ἡ — τυχούσαις] Σελήνης (-νη V) δὲ μαρτυρούσης (-σα V) αὐτῷ σίνη ἀπὸ συμπτωμάτων ἕξει ἢ αἰχμαλωσίαν (-σίας V) ἢ δουλείαν (-είας V) καὶ τὸν βίον λυπηρόν. 5 τὸν Κ- P. 6 τῶν suppl. ὕψους] « a frigore » Firm. Leg. ψύχους? 7 φύξεις P : « aut a quadrupede vulneratos » Firm. 8 πυρομένους P ; corr. ποιεῖ suppl. 9-12 ἐὰν δὲ ὁ τοῦ — θλιβήσονται] Ζεὺς δὲ Ἀφροδίτη μαρτυρήσαντ(ες) τὰ κακὰ Ἄρεως ἀποστρέφουσι AV. 9-10 ἐπιμαρτυρίσει P. 11 μὲν βίῳ corr. : μέντι τῷ (dubium) P : « quae necessaria sunt vitae » Firm. 12-14 νυκτὸς δὲ (δὲ post ἀθλ. A) ἀθλήτας (-τὴν V) καὶ στρατιώτας (-την V) ποιεῖ, ἐπισφαλεῖς δὲ ταῖς δόξαις καὶ ταῖς πράξεσι AV. 13 ἐπισφαλὴς P. τῆς δόξης P. 15-16 cf. Firmic. Mat., III, 5, 12. 15 Ἥλιος ἐν τῷ β′ τυχὼν AV. ἰδιοκτήμονα V : « per semetipsos patrimonia quaerentes » Firm. 16 τῷ βίῳ ἡδύς P : « in omni vita suaves » Firm., qui ambo verbum rarius explicaverunt ; cf. p. 135, 18. 17-21 cf. Firmic. Mat., III, 6, 5-6. 17 Ἀφροδίτη δὲ (ἢ ἡμέρας add. A) ἐν τῷ β′ οὖσα AV. 18-19 θηλυκὰ — ὁρῶσιν] γυναῖκας (cet. om.) AV. 19 τελεῖ om. AV. γήρει P. 21-22 καὶ εἰδὺς κατὰ ἀφροδίσεια P : om. AV ; cf. v. 21 : « amoenos in veneriis cupiditatibus » Firm. 21 καὶ ἐπαφροδίτους post ἐπιχαρεῖς add. AV. τοὺς γενομένους ἀποτελεῖ P : om. AV.

Digitized by Microsoft®

Ἐπὶ δὲ τοῦ βίου ἑῷος ἀνατολικὸς τυχὼν Ἑρμῆς νυκτὸς μὲν ἄφρονας, σκολιούς, ἀλλοτρίους γραμμάτων, καὶ τοῖς βίοις ἐνδεεῖς γεννήσει. ἑσπέριος δὲ τυχὼν νυκτὸς ἐπὶ τούτου τοῦ τόπου τοκιστάς, ἐμπόρους ἢ ἀλλοτρίων φροντιστάς, ἐπιτρόπους γεννήσει σοφούς· ἡμέρας δὲ φιλοσόφους ἢ μονοτρόπους ἢ ἰδιοφυεῖς, ἃ μὴ ἔμαθον ἐπιχειροῦντας, σαπροζώους τε καὶ ἑαυτῶν τιμωρητάς. [Ὁ κύριος τῆς προγενομένης συνόδου εἰ ἐν τούτῳ τῷ τόπῳ τύχῃ, ἐκπτώτους τοῦ βίου ποιεῖ.]

** καὶ πάθει περιπεσεῖται καὶ ἐν στενοχωρίᾳ ἔσται· εἰ δὲ Κρόνος καὶ Ἄρης ἐκεῖ τύχωσι καὶ ἐπιθεωρήσωσι τὸν τόπον, ἐν νεότητι αὐτὸς κακοπαθήσει καὶ μετὰ ταῦτα ἐν ἀγαθοῖς ἔσται κτώμενος ἀπὸ δυναστῶν καὶ βασιλέων ὑπάρχοντα καὶ ὀνομαστὸς ἔσται καὶ τύραννος· εὐτελὴς δὲ ἔσται καὶ οὐ φροντίσει τινὸς διὰ τὸ τὸν Ἄρεα καὶ Κρόνον χαίρειν ἐν τῷ Καταβιβάζοντι· εἰ δὲ Κρόνος μετὰ Ἀφροδίτης ἐκεῖ τύχῃ, εἰς γυναῖκας ἀκαταστατήσει καὶ μετὰ ταῦτα ἐν καλοῖς ἔσται καὶ ζήσει ἔτη ο′.

Τρίτος τόπος.

Ὁ τρίτος τόπος καλεῖται θεᾶς Σελήνης, κατάσκιος, ἐξουσιαστικός, μετακόσμιος[1], σημαίνει δὲ τὸν περὶ ξένης λόγον καὶ τὸν περὶ ὀνείρων καὶ θρησκείας καὶ τραπέζης καὶ ἀδελφῶν καὶ φίλων καὶ βασιλίδος.

Ἐὰν οὖν Σελήνη τύχῃ ἐν τῷ γ′ τὴν οἰκοδεσποτείαν ἔχουσα τοῦ ὡροσκόπου ἢ τοῦ κλήρου τῆς τύχης ἐν ἰδίῳ προσώπῳ μάλιστα καὶ τῆς αἱρέσεως καὶ μεστὴ καὶ τοῖς ἀριθμοῖς προσθετική, ὁ γεννώμενος ἔσται

1-7 cf. Firmic. Mat., III, 7, 4. 1-2 Ἑρμῆς δὲ ἑῷος διαδοσικός (διαδυτικὸς Paris. 2506) ἐν τῷ β′ ὢν νυκτὸς A : Ἑρμῆς δὲ ἑῷος ἀνατολικὸς ἐν τῷ βίῳ ὢν νυκτὸς V. 1 ἑῷον δυττοικῶς sic P : « matutino ortu » Firm. 2 ἀλλοτρίους γραμμάτων P : ἀγραμμάτους AV . « alienos ab scientia litterarum » Firm. καὶ τοῖς β. ἐ. γεννήσει om. AV. 3-4 ἑσπέριος δὲ — σοφοὺς] ἑσπέριος δὲ ἐμπόρους, τοκιστάς, ἀλλοτρίων ἐπιτρόπους, σοφούς AV. 4-7 ἡμέρας δὲ — ἐκπτώτους ποιεῖ om. P. 5 Leg. φιλολόγους ? « pilogos » Firm. codd. 5 ᾧ μὴ A; cf. p. 140, 19. 6-7 ὁ κύριος — ποιεῖ interpolata videntur, cf. cap. οη′ περὶ ἐκπτώτων. P pro vv. 4-7 praebet vv 8-14, qui in AV desunt, itemque apud Firmicum. Fortasse ad paragraphum de Luna in secundo loco pertinent, sed differunt ea quae apud Firm. II, 13, 3 inveniuntur. 8 στενωχρ' P. 9 ενἔοτητι sic P. 11 βασιλέων corr. : βίας P (compendio perperam soluto). 13 ἀφροδίτης deinde signum Veneris P. 14 ἔσται] verbum in codice dubium (ἰάσεται ?)). 15 **P**, f. 99 : **A**, f. 8ᵛ; **V**, f. 30ʳ, 16 ὁ om. P. καλεῖται θεὸς σελήνη (signo astr.) codd.; cf. Vett. Val., II, 13 : Τρίτος τόπος θεᾶς Σελήνης, Antiochum, *Catal.*, VIII, 3, p. 117, 4; Paul. Alex., 4, 3; Firmic. Mat., II, 19, 4 et infra locum IX et Iulian. Laod., f. 216ʳ. 18 βασιλέων V. 19-p. 145, 16 ἐὰν οὖν Σελήνη — μεθέξει] Eadem fere praebet Vett. Val., p. 67, 13-68, 8 Kroll. 19 τὴν οἰκοδεσποτ' P : τὸν οἰκοδεσπότην AV. 20 καὶ om. P. 21 τοῖς ἀριθμοῖς (signo arithm.) προσθετική AV : τῆς οὖν προσθετικῆς P. γενόμενος P.

[1] Cur μετακόσμιος dicatur hic locus, vide infra ad locum nonum, p. 163, n. 1.

Digitized by Microsoft®

μέγας, πλούσιος, ὑπὸ θεῶν χρηματιζόμενος, καὶ ἱερῶν τόπων ἕξει διάφορα χρήματα, ἄρξει δὲ πόλεων. ἐὰν δὲ συμπαρῇ ὁ Ἥλιος τῇ Σελήνῃ ἀπὸ συνόδου, ἱερεὺς ἔσται. ἐὰν δὲ ὁ τοῦ Κρόνου συμπαρῇ τῇ Σελήνῃ, ἔσται ἱεροσκόπος, φιλόδικος, ζημιώδης, θεοχόλωτος, βλάσφημος εἰς τὸ θεῖον. ἐὰν δὲ Ζεὺς συμπαρῇ τῇ Σελήνῃ, μάγος, προφήτης, πλούσιος. ἐὰν δὲ Ἄρης συμπαρῇ τῇ Σελήνῃ, ἔσται πρακτικὸς καὶ ἀποστερητὴς ἀλλοτρίων. ἐὰν δὲ παρῶσιν ἐν ἰδίοις τόποις ἢ προσώποις μάλιστα ἐπὶ νυκτός, γίνεται στρατηγός, ἐπίορκος χάριν χρυσοῦ, ἔσθ' ὅτε καὶ χόλῳ βασίλειας ἀπολεῖται. ἐὰν δὲ ὁ τῆς τύχης κλῆρος ἐπιπαρῇ σὺν τῷ τῆς Ἀφροδίτης ἐν ἰδίῳ προσώπῳ μάλιστα νυκτὸς καὶ ἡ Σελήνη οἰκοδεσποτοῦσα τοῦ κλήρου συνῇ ἐκεῖ ἐν ἰδίῳ προσώπῳ, ὁ γεννώμενος ἔσται μέγας, πλούσιος καὶ ὑπὸ γυναικὸς εὐεργετηθήσεται· τινὲς δὲ καὶ ἐν ἡγεμονίαις διάγουσιν· οἱ δὲ καὶ ἀρώματα μεταχειρίζονται. ἐὰν δὲ ὁ τοῦ Ἑρμοῦ σὺν τῇ Σελήνῃ τύχῃ ἐκεῖ ἰδίοις προσώποις καὶ κυριεύσωσι τοῦ ὡροσκόπου ἢ τοῦ κλήρου τῆς τύχης, ὁ γεννώμενος ἐρεῖ τὰ μέλλοντα ὡς θεὸς καὶ μυστηρίων ἀπορρήτων μεθέξει καὶ τῶν οὐρανίων μέτοχος ἔσται καὶ πολύπειρος καὶ ὀνείροις χρηματιζόμενος καὶ μαντικός. Ἥλιος δὲ σὺν Σελήνῃ παρὼν ξενιτεύοντας ποιήσει· καὶ ὁ κύριος τοῦ ὡροσκόπου ἐνταῦθα ὢν ξενιτείας παρέχει. ὁ δὲ κύριος τοῦ γ' καλῶς κείμενος φάσει <ἢ> τόπῳ, ὑψώματι ὑπὸ ἀγαθοῦ θεωρούμενος, ἀνδρῶν μεγάλων φίλους τοὺς τοιούτους ποιήσει καὶ τὰς περὶ φίλων καὶ ἀδελφῶν εὐεργεσίας δίδωσι, μάλιστα εἴπερ ἀγαθὸς τύχῃ ἐπὶ τοῦ τόπου· εἰ δὲ κακοποιὸς ἐπὶ τοῦ τόπου τύχῃ, τὰς παρὰ φίλων καὶ ὑπὲρ φίλων βλάβας ποιοῦσιν γενέσθαι· ἔσθ' ὅτε δὲ καὶ βλασφήμους ποιοῦσι καὶ κινδύνους ἐπὶ ξένης.

Κρόνος δὲ καὶ Ἑρμῆς ἐν τῷ γ' ὄντες ὀνείρων ἀποκαλύψεις καὶ μυστηριώδη ποιοῦσιν. ὁ δὲ κλῆρος τοῦ γάμου ἐν τῷ γ' ὢν ἐπὶ ξένης λέγει τὸν γάμον γενέσθαι ἢ ἀπὸ ξένης· Ἀφροδίτη δὲ ἐν τῷ γ' οὖσα τὰς ἀπὸ γυναικῶν χάριτας καὶ δωρεὰς παρέχει τῷ γεννηθέντι. ὁ δὲ

1 ἕξει δὲ V. 2 καὶ ἡ σελήνη codd.; ex Val. corr.; cf. v. 3. 3 συνόδου om. P. ἱερεὺς AV : ἱερέων P. An ἱέρεια? cf. Val. ὁ om. PA. τοῦ om. V. τῆς Σελήνης V. 4 ἱερόκωπος P. An ἱεροσκώπτης? βλάστημος P. 5 τὸ θεῖον] θεοὺς Val. 6 Ἄρης] signum Iovis P. 7 ἐν ἰδίῳ τόπῳ ἢ προσώπῳ V. 8 στρατηγὸς P et Val. : τρατητὴς (sic) AV (pro στρατηλάτης?). 9 βασιλείας ἀπόλειται sic P (cf. Val., p. 67, 28 : ἀπολεῖται χόλῳ ἐξουσίας) : βασιλικῷ ἀπόλλυται AV : βασίλειας corr.; cf. p. 144, 18, βασιλίδος. κλήρου P. 10 ἡ om. AV. 11 τῷ κλήρῳ A. σύνην P. 13 εἰ δὲ P. 14 ὁ Ἑρμῆς V. ἰδίῳ προσώπῳ V. 14-15 κυριεύσουσι PA: κυριεύσουσα V (κυριεύσῃ Val.). 18 μάντις ut vid. P. ξενιτεύον A (sed ξενιτεύοντας Paris. 2506) : ξενιτεύειν V. πιήσει P; cf. 21 : ποιοῦσι AV (ποιεῖ Paris. 2506). 19 κύριος PA : κλῆρος V. 20 ἢ suppl. ἀγαθῶν P. 22 μάλιστα iter. V. ὑπὲρ P. 23 καὶ κακοπ. P. παρὰ P : περὶ AV. 24-27 ἔσθ' ὅτε — ποιοῦσιν om. V. 24 δὲ om. A. 25 ξένοις P. 26 Ἑρμῆς A : Ἀφροδίτη (signo astr.) P. 27 μυστηριῶδης sic P : μυστηριώδ' A. 27 et 28 ξένοις P. 28 λέγ' cod. Fort. λέγε cum anacolutho. ὁ pro signo Veneris P. τῷ om. P.

Digitized by Microsoft®

κύριος τοῦ ϛ' ἢ τοῦ ιβ' ἐν τῷ γ' ὢν φίλων ὑποκρίσεις καὶ προδοσίας καὶ τὰς παρ' ἐχθρῶν βλάβας ποιεῖ· ἔσθ' ὅτε δὲ καὶ σῖνος ἢ πάθος ἐπὶ ξένης ποιοῦσιν. ὁ δὲ κύριος τοῦ γ' ἐν τῷ β' ἢ τῷ ϛ' ὢν ποιεῖ † κληματικοὺς ἐν ὁδῷ. ὁ δὲ κύριος τοῦ ε' καὶ ια' ἐν τῷ γ' ὢν ἀγαθὰς καὶ ἐπικερδεῖς τὰς ξενιτείας ποιεῖ καὶ φιλίας. ὁ δὲ κύριος τοῦ ζ' ἐν τῷ γ' ὢν ξενογαμίας ποιεῖ. ἐὰν δὲ ὁ γ' εὑρεθῇ περιέχων δίσωμον ζῴδιον καὶ ὁ κύριος τοῦ γ' ἐν δισώμῳ ᾖ, ἐξ ἄλλων καὶ ἄλλων γονέων ἀδελφοὺς λέγε γενέσθαι καὶ οὐχ ὁμοπατρίους <ἢ> ὁμογαστρίους. ἐὰν δὲ τὰ δύο φῶτα εὑρεθῇ ἐν διαφόροις ἀποκλίμασιν, ἀλλοεθνεῖς τοὺς γονεῖς λέγε. ἐὰν δὲ ὁ γ' ᾖ Καρκίνῳ, Λέοντι καὶ Ζεὺς μετὰ Ἀφροδίτης ἢ Ζεὺς μετὰ Ἑρμοῦ ἐπιθεωρῶσιν, εὐτυχίας σημαίνει. ἐὰν δὲ Κρόνος καὶ Ἄρης τὸν τόπον θεωρῶσιν, πλανήτας ποιοῦσι καὶ κακοφίλους· εἰ δὲ ἀγαθός, χρηστοφίλους. ἐὰν ὁ γ' εὑρεθῇ Τοξότῃ ὑπὸ Διὸς Ἀφροδίτης μαρτυρούμενος, εὐτυχέστατος ἔσται, εἴπερ ἡμέρα εἴη· ἐὰν δὲ συσχηματισθῇ τούτοις καὶ Ἄρης, στρατοπεδάρχας ποιεῖ. εἰ δὲ Κρόνος Ἑρμῆς ἐπιθεωρήσουσιν τὸν τόπον, γραμματικούς, ῥήτορας, σοφιστάς. εἰ δὲ Κρόνος καλῶς σχηματίζεται, οἰκονόμους καὶ ἐπιτρόπους ποιεῖ· εἰ δὲ Ἀφροδίτη, γάμον κρύφιον καὶ εὔπορον καὶ εὐτυχῆ, μάλιστα ἐπὶ νυκτὸς ἀνατολικῆς οὔσης. Ἀφροδίτη καὶ Ἑρμῆς προσώποις Διὸς καὶ οἱ κακοποιοὶ τῆς αἱρέσεως ὄντες, ἐν οἷς χαίρουσι ζῳδίοις, ἀγαθὰ παρέχουσι. Ζεὺς δὲ καὶ Κρόνος ἐν τῷ γ' δίχα Ἄρεως εὐτυχίας δηλοῦσιν.

Ἐὰν δὲ ὁ γ' ᾖ Κριῷ Σκορπίῳ ἐπιθεωρούντων Ἄρεως Ἀφροδίτης, ποιοῦσι μόχθους τῶν ἰδίων φίλων ἢ ἀδελφῶν, μάλιστα Ἄρεως καὶ Ἀφροδίτης τὰ ὅρια ἀμειψάντων. ἐὰν δὲ Κριῷ ἢ Σκορπίῳ <ἢ> Ζυγῷ Ἄρεως θεωροῦντος, μοιχοὺς μάλιστα ὁρίοις ἢ προσώποις Ἀφροδίτης· εἰ δὲ μετὰ Ἄρεως θεωρεῖ, μοιχαλίδας ἕξει γυναῖκας. ἐὰν ὁ γ' ᾖ Διδύμοις ἢ Παρθένῳ Ἄρεως θεωροῦντος, ποιεῖ κακοπαθῆ τὸν τοιοῦτον διὰ

1 κύριος PA : κλῆρος V, ac sic vv. 3, 4, 5, si recte a Riccobonio lectus est. φίλων A : φύλων P : φιλιῶν V. 2 πάθος P : καὶ βλάβην AV. 3 β' AV : δευτέρῳ P. τῷ om. V. 3-4 ποιεῖ — γ' ὢν om. P. κληματικούς non capio. An κτηματικούς? 5 ποιοῦσι AV. φιλίας scripsi : φίλ' A : φίλους V : φυλαῖς (sic) P. δὲ om. P. τῷ γ' V : τρίτῳ AP. 6 ξενογαμίαν A. δίσωμον ζῴδιον P : δίσωμα ζῴδια AV. 7 γονέων om. P. ἀδελφῶν P. 8 λέγε P : λέγει V : λέγεται A. ὁμοπατρίους om. P. ἢ suppl. ὁμογαστρίους om. AV. 9 εὑρεθῶσιν AV. 10 λέγουσιν V. ὁ om. P. ᾖ A : ἢ V : εἶεν P (i. e. ᾖ ἐν?). Λέοντι] signum dubium, fort. νυκτὸς P. 10-11 μετὰ Ἑρμοῦ Ζεύς AV. 11 τοῦ ante Ἑρμ. add. P. ἐπιθεωροῦσιν AV. εὐτυχίας V : εὐτυχίαν A : εὐτυχῆς P. 12 κακόφυλον P. 12-13 εἰ δὲ — χρηστοφ. om. AV. 13 χρηστόφυλλοι P; corr. 14 ἐὰν AV : εἰ P. 15 καὶ Ἄρης om. P. στρατοπεδάρχους (sic) ποιεῖ P : στρατοπεδάρχης ποιεῖται AV. καὶ Ἑρμῆς P. 19 ἀνατολῆς V. Ἀφροδίτη Ἀφροδίτη (signis astr.) A (Ἑρμῆς καὶ Ἀφροδίτη Paris. 2506). προσώποις Διὸς scripsi : προσώπ' ἢ cum signo Iovis, codd. 19-20 καρποὶ V. 21 τῷ om. V. δίχα Ἄρεως om. P. δηλοῖ A. 22 ἐπιθεωροῦντες AV. 23 μόχθους] Fuit, opinor, μοιχείας; cf. v. 25. 24 Κριῷ ἢ om. AV. ἢ suppl. 25 θεωροῦντες A. μοίχοι P. 25-27 μοιχοὺς μάλιστα — θεωροῦντος om. AV. 27 ἢ Ἄρ. P. κακοπαθ' AV. ὁ τοιοῦτος codd.

Digitized by Microsoft®

φίλους ἢ παρὰ φίλων. ὁ κύριος τοῦ γ' ἐὰν εὑρεθῇ ἐν πολυσπόρῳ ζῳδίῳ ὑπὸ ἀγαθοῦ μαρτυρούμενος, πολλοὺς ἀδελφοὺς ἕξει. ἐὰν δὲ εὑρεθῇ ὁ κύριος τοῦ γ' ἐν β' ἢ ια ἢ ι' ἢ θ', ὁπλοτέρους καὶ προτέρους ἀδελφοὺς δηλοῖ· εἰ δὲ ἐν τῷ ὡροσκόπῳ, πρωτότοκον ἢ μονογενῆ. ἐὰν ὁ κύριος τοῦ γ' εὑρεθῇ ἐν καλῷ τόπῳ ἢ ὑψώματι, ποιεῖ ὑπὸ φίλων εὐωχίαις τέρπεσθαι καὶ ζωὴν ἢ τέχνην ἀνενδεᾶ.

Εἰ δὲ ὁ Ἀναβιβάζων ἐν τῷ περὶ ἀδελφῶν τύχῃ καὶ Ζεὺς καὶ Ἀφροδίτη καὶ Ἥλιος μετὰ Σελήνης ἐκεῖ ὦσιν ἢ ἐπιθεωρῶσιν, ἐπὶ ἀδελφῷ λυπηθήσεται ἢ ἀποβαλὼν ἢ σεσινωμένον σχών. ἐὰν ὁ Καταβιβάζων ἐν τῷ περὶ ἀδελφῶν τύχῃ καὶ Ζεὺς καὶ Ἀφροδίτη ἐκεῖ ὦσιν ἢ ἐπιθεωρῶσιν, κάκιστον τὸ σχῆμα τοῖς γονεῦσιν. εἰ δὲ Κρόνος καὶ Ἄρης ἐκεῖ τύχωσι, θραύεται αὐτῶν ἡ κακία, ὁ δὲ πατὴρ πάντως σινοῦται.

Ἐν δὲ τῷ θεῷ[1] ἡμέρας ὁ Κρόνος τυχὼν μύστας, ἀρχιμάγους, φιλοσόφους, θεῶν τεράστια προφοβουμένους· τινὰς δὲ καὶ ἀσχολίαις περιβάλλει· νυκτὸς δὲ ἐγκατόχους, ἀποφθεγγομένους, φιλοσόφους.

Ἐν δὲ τῷ θεῷ ἡμέρας τυχὼν ὁ Ζεὺς χρηματιζομένους τὰ μέλλοντα. τινὲς δὲ καὶ ἱερῶνται καὶ τεράστιά τινα ποιοῦσι· νυκτὸς δὲ ἀβεβαίους τοῖς ὀνείροις καὶ καταψευδομένους θεῶν, φιλοχρύσους.

Ἐν δὲ τῷ θεῷ ἡμέρας ἢ νυκτὸς Ἄρης τυχὼν ἀτιμωρήτους, σοφιστάς, παρὰ θεοῖς φοβερούς, κἂν ματαίως ὀμνύωσι, σωτηρίας τόπον ἔχοντας. γίνονται δὲ καὶ φοβεροὶ δαίμοσιν.

Ἐν δὲ τῇ θεᾷ τυχὼν ὁ Ἥλιος θεοσεβεῖς, θεολήπτους, ἐν ἱεροῖς δουλείας ἀδόξους ἢ δουλικὰς κεκτημένους.

1 παρὰ PV : περὶ A. 2 ἀγαθῷ V. εἰ PA. 4 εἰ δὲ ἐν P : ἐν δὲ AV. μονογενεῖν P. 5 γ' AV : τώπου sic P. 5-6 ὑπὸ φίλων εὐωχίαις P : ἐν εὐωχίᾳ AV. 6 ἢ AV : καὶ P. 10 ἐπὶ ἀδελφῶν τύχης P. ἢ ἐπιθεωρῶσιν om. P. 11 καὶ om. AV. 12 θραύεται AV : φρανεύεται vel θρανεύεται P. 13-14 ἐν δὲ τῷ — φιλοσόφους om. V. 14 θεοτεράστια P. Leg τεραστίοις? cf. infra p. 165, 5. προσφοβουμένους V : προσφωβούμένους P. Leg. προφοιβωμένους? cf. p. 137, 1. τινι V. καὶ om. V. ἀσχολίᾳ V. 15 παραβάλλει P. 16-18 ἐν δὲ τῷ θεῷ — φιλοχρύσους om. V. 16 χρωματιζωμένους P. 17 ποιοῦσι scripsi : ποιήσει P : ποιήσαντες AV. ἀβεβαίοις codd.; cf. p. 165, 7. 18 καταψευδομένοις codd.; cf. ibid. An φιλοχρήσμους? cf. p. 165, 8. θεὸν AV : θεῷ vel θεῶν P. 20 παρὰ θεοὺς AV. An παρὰ θεῶν? sed cf. p. 165, 10. ματαίως corr. ex p. 165, 10; τὲ ὡς P : τέως AV. 22-23 Haec ad deam recte referuntur, cf. Firm. Mat., III, 5, 15 (p. 132, 17) : « In templis ignobilia officia <aut> servile ministerium ».

---

[1] Haec et sequentia non ad tertium locum, i. e. deam, sed exceptis nonnullis (p. 147, 22) ad nonum, i. e deum, pertinent, et paucis mutatis in capitulo « Τόπος ἔνατος » repetuntur p. 165, v. 1 ss. Errore Rhetorii, ut videtur, hic inserta sunt. Quae fons eius de planetis in tertio loco constitutis praebebat, servavit fere Firmicus Maternus, III, 2, 7; 3, 5; 4, 7 etc.

Digitized by Microsoft®

Ἐν δὲ τῷ θεῷ ἢ τῇ θεᾷ παρ' αἵρεσιν οὖσα ἡ Ἀφροδίτη δαίμοσι προσπλεκομένους ἀποτελεῖ ἢ καὶ ἐν ἱεροῖς ῥακοδύτας, ἀπὸ θεοῦ φθεγγομένους, φιλοσόφους. ταῦτα δὲ γίνεται μάλιστα Ἀφροδίτης ἐπιθεωρηθείσης ὑπὸ Κρόνου· νυκτὸς δὲ ἡ Ἀφροδίτη κατὰ αἵρεσιν ἐν τοῖς τόποις τούτοις εὐχρηματίστους, τεραστίους, θεοσεβεῖς, ἱερατεύοντας. τινὲς δὲ καὶ ἐν ἱεροῖς τάξεις ἢ δωρεὰς ἴσχουσι. Κρόνου δὲ ἢ Ἄρεως συμπαρόντων αὐτῇ ἢ τετραγώνων ἢ διαμέτρων κρίσεις ποιεῖ ἕνεκα γυναικῶν καὶ μάχας καὶ δυστυχίας καὶ ἀχαριστίας, μάλιστα δὲ ἐπὶ τῶν τροπικῶν ζῳδίων· ταῦτα γὰρ τὰ ζῴδια τῶν πλείσταις συνερχομένων. ἐὰν δὲ ὁ τοῦ Διὸς ταύτῃ συμπαρῇ ἢ τρίγωνος ἢ τετράγωνος <ἢ> διάμετρος, ποιεῖ ἐπαφροδίτους, ἐπιτευκτικούς, κυρίους τῶν τῆς γυναικὸς ἀγαθῶν. τινὲς δὲ φροντισταὶ γίνονται γυναικῶν καὶ ἐν μεγιστᾶσιν ἀναστρέφονται ἕνεκα θηλυκῶν προφάσεων, ὧν χάριν καὶ προκόπτουσιν.

Ἐν δὲ τῷ θεῷ ἑῷος τυχὼν ὁ Ἑρμῆς θύτας, ἱερομάντεις, οἰωνιστάς, ἰατρούς, ἀστρολόγους, θεολήπτους· ἀφ' ὧν καὶ τὸν βίον ἔχουσιν. ἐναντιόθετος Ἄρει ἀσεβεῖς ποιεῖ, ἱεροσύλους· ἑσπέριος δὲ τυχὼν ἱερεῖς, μάγους, ἰατρούς, τεχνικούς, ἃ οὐκ ἔμαθον ἐπινοοῦντας.

Ἐν δὲ τῇ θεᾷ ἡ Σελήνη νυκτὸς οὖσα ξενιτευτὰς ἐνδόξους, κτητικούς· τινὲς δὲ καὶ γυναικῶν πράγματα πιστεύονται καὶ θεοσεβεῖς γίνονται. ἡμέρας δὲ ξενιτευτὰς ἀδόξους, τὸν βίον ἐν πλάναις καὶ κινδύνοις ἔχοντας· τινὲς δὲ καὶ ἐν ἱεροῖς ἀδόξους ἢ δουλικὰς ἔχουσι πράξεις· ἢ θεῷ προσπλόκους ἢ ἐξαγορεύοντας, καὶ μάλιστα ὅταν ὑπὸ κακοποιῶν Ἀφροδίτη ὁραθῇ.

Τόπος τέταρτος.

Ὁ τέταρτος τόπος καλεῖται ὑπόγειον κέντρον καὶ ἡ τοῦ γήρως ἡλικία. σημαίνει δὲ τὸν περὶ γονέων λόγον καὶ περὶ ἐγγείων καὶ κρυπτῶν πραγμάτων[1] καὶ οἴκου ἐν ᾧ τις ἐγεννήθη, καὶ περὶ θεμελίων

1 ss. Haec rursus ad locum IX pertinent. 1 οὖσα PV : σινοῦσα A. 1-2 δαίμοσι προσπλεκομένους] cf v. 22; δαιμονοπλόκους vel δαιμονιοπλήκτους p. 165, 15. 2 ῥακωδίτας P. τοῦ θεοῦ AV. 3 γίνεται P : signum Arietis AV. 4 5 τῷ τόπῳ τούτῳ AV. 5 εὐχρηματιστὰς P (i. e. prophetae? cf. p. 147, 16). εὐσεβεῖς V. 8 τροπῶν V. 9 συνεχομένων AV; cf. p. 165, 22 πολυγάμων. 10 ἢ suppl. 12 φροντίστους P. ἀνατρέφονται V : ἀνατρέφωνται P: cf. p. 166, 3, 11, 24. 13 οὗ χάρ. P. καὶ om. V. 16 ἐναντιόθετον P : ἐναντιόθεος AV. 17 μάγους ἱερεῖς P. 18 Imo ἐν τῷ θεῷ, cf. infra p. 166, 7 ss. νυκτὸς om. P. 21-22 θεοπροσπλόκους V : θεωᾶποπλωκ' sic P : θεοαποπλόκους A; cf. supra ad **v.** 2 et infra p, 166, 6. 22 ὅτε V. ἀπὸ P. 24 **P**, f. 101; **A**, f. 10; **V**, f. 32. τέταρτος τόπος A : τόπος δ' V. 26 παρὰ ἐγγείων A : ἐγγύων P. 27 οἴκου κ. τ. λ., cf. p. 150, v. 12-13.

---

[1] Haec sine ullo dubio ex Antiochi Introductione Rhetorius hausit; cf. *Catal.*, VIII, 3, p. 117, 5 : Τὸ δὲ δ', ὅ ἐστιν ὑπόγειον κέντρον, καλεῖσθαί φησιν οἰκίαν καὶ ἑστίαν· κειμηλίων [lege θεμελίων] τε καὶ εὐγενείας καὶ ἐγγαίων καὶ τῶν τοιούτων

Digitized by Microsoft®

καὶ τῶν μετὰ θάνατον [1]. ἐπὶ δὲ τῶν καταρχῶν σημαίνει τὴν τοῦ μαθηματικοῦ πρᾶξιν κατὰ τὴν τῶν ἀστέρων ἐπιθεωρίαν· ἢ γὰρ κέρδος καὶ ἐπαίνους παρέξουσι Ζεὺς Ἀφροδίτη ἢ ζημίας καὶ καταγνώσεις Κρόνος Ἄρης τῷ μαθηματικῷ.

Ἀγαθὸν οὖν τὸ γῆρας διὰ Διὸς ἢ Ἀφροδίτης ἐν τῷ δ' ὄντων καὶ ὁ θάνατος· Ἄρης δὲ καὶ Κρόνος ἐκεῖ τυγχάνοντες οὐ μόνον κακοθανασίαν τῷ τεχθέντι ἀλλὰ καὶ σῖνος ἢ πάθος διδόασιν. πάντως δὲ τὰ γονικὰ φθείρουσι. Ἀφροδίτη δὲ ἐκεῖ κακογάμους ποιεῖ, ἀλλὰ τὸ γῆρας ἄμοχθον. ἡ δὲ Σελήνη ὑπὸ Κρόνου ἢ Ἄρεως ὁρωμένη, κρυπτῶν τόπων πόνους ποιεῖ ἢ χάριν τινῶν πραγμάτων κρυπτῶν· συνοχὰς γὰρ καὶ δεσμοὺς ἐπάγει· θάπτουσι δὲ γυναῖκα καὶ τέκνα οἱ τοιοῦτοι. ὑπὸ δὲ ἀγαθῶν ὁρωμένη ἀπὸ κρυπτῶν ἔργων ὠφέλειαν φέρει. εἰ δ' ἡ Σελήνη ἐν οἴκῳ Ἄρεως ᾖ ὑπὸ κακοποιοῦ ὁρωμένη, ἔκπτωσιν καὶ μείωσιν τῶν πατρικῶν σημαίνει, εἰ μὴ ἄρα ᾖ οἴκῳ ἢ ὑψώματι Διός.

Ὁ δὲ Κρόνος ἐκεῖ ὢν κατὰ αἵρεσιν οἴκῳ Διὸς ἢ ὑψώματι θησαυροῦ εὑρετὰς δηλοῖ καὶ μάλιστα στηρίζων, τῶν δὲ γονικῶν ἀποβολάς· πάντως δὲ κρυπτὰ δώσει καὶ θάψει τέκνα. ὁ Ζεὺς ἐκεῖ ὢν ὠφέλειαν ποιεῖ ἐξ ἀπορρήτων πραγμάτων ἢ κληρονομιῶν ἢ θησαυρῶν εὑρέσεως· ἐὰν δὲ τοιοῦτος ᾖ ἐν τῇ μέσῃ ἡλικίᾳ, ἔκπτωσιν δηλοῖ καὶ περὶ τὸ γῆρας αὔξησιν· καὶ ἀνατολὴν τύχης καὶ εὐθανασίαν δηλοῖ. Ἀφροδίτη ἐκεῖ οὖσα μαρτυρουμένη ὑπὸ Κρόνου ἢ Ἄρεως· γυναικὸς θάνατον ὄψεται. εἰ δ' ἐν τροπικῷ εἴη, οὐ μίαν θάψει, ἀλλὰ πολλάς. ἐὰν δὲ μόνη εὑρεθῇ στηρίζουσα, οὐ μόνον μοιχοὺς ἀλλὰ καὶ μαλακοὺς ποιεῖ. Ἑρμῆς δὲ ἐκεῖ ὢν μετὰ Ἀφροδίτης βλάπτει τὸν περὶ ἀδελφῶν λόγον καὶ τέκνων, φρονίμους δὲ ποιεῖ καὶ διαβολὰς καὶ κατηγορίας, μάλιστα δ' ὑπὸ Ἄρεως θεωρούμενος καὶ ἐν ἀνοικείοις ζῳδίοις παρών· ἀλλὰ καὶ φαρμακίδα γυναῖκα δώσει. ἐν δὲ Διὸς οἴκῳ ἢ ὑψώματι ἀλλοτρίων τέκνων πατὴρ γίνεται καὶ τεκνοποιεῖται ὑπό τινος σεσινωμένου. Σελήνη ἐκεῖ οὖσα τὴν μητέρα ἀγενεστέραν λέγει· εἰ δὲ ὁ οἰκοδεσπότης αὐτῆς ἀποκλίνει,

1-2 μαθητικοῦ P. 3 κατὰ γνώσεως P. 4 μαθητκ' P. 5 ἀγαθὸς A. 7 πάντες V. 9 ἢ om. AV. κρυπτὸν τύπον A. 10 κρυπτῶν πραγμάτων (sine τινῶν) P. 13 κακοποιῶν P. 15 οἶκον P. 16 δηλοῖ om. P. δὲ om. PV. γονέων V. 16-17 πάντος P. 17 κρυπτὰς P. 18 εὑρήσεις ἢ θησαυρῶν V. ἐὰν corr. : ἐν codd. 19 τοιοῦτον ἐν P : om. AV : corr. καὶ περὶ τὸ P : τὸ δὲ AV. 20 ἀθανασίαν AV. 21 ἢ om. AV. γυναικῶν codd., sed cf. v. 22. θανάτους AV. 21-22 cf. p. 148, 9-10. 22 θάψει e corr. P. εἰ PA. μόνους V. 23 δὲ om. P. 24 τῶν V. 27 ἢ PA : καὶ V.

εἶναι σημαντικόν. Cf. Firmic. Matern., II, 19, 5 : Hic locus ostendit nobis parentes, patrimonium, substantiam [οὐσίαν pro οἰκίαν ?], fundamenta, mobilia [lege nobilia = εὐγενείας vel immobilia = ἐγγαίων?] et quicquid ad latentes et repositas patrimonii pertinet facultates; cf. Paul. Alexandr., L, 3.

[1] De inferis in imo caelo collocatis, cf. *Les enfers selon l'Axiochos* in *Comptes-rendus Acad. Inscr.*, d. 13 Aug. 1920.

Digitized by Microsoft®

πάντως δούλην ποιεῖ καὶ κακοθάνατον· τὰ δ' αὐτὰ νόησον καὶ ἐπὶ πατρὸς ἀπὸ τοῦ Ἡλίου.

Κρόνος μετὰ Ἡλίου ἐκεῖ ὢν τοῦ Ἡλίου ἐκλείποντος ἐπὶ τῆς γεννητικῆς ἡμέρας· ἐν αἰχμαλωσίαις καὶ συνοχαῖς γίνεται. εἰ δὲ ἐπιθεωρήσουσιν Ἑρμῆς καὶ Ἀφροδίτη, εὐνοῦχος γίνεται. τὰ αὐτὰ δὲ γίνεται καὶ ἐπὶ τῶν λοιπῶν κέντρων. Ἄρης παρ' αἵρεσιν ἐν ἀλλοτρίῳ ζῳδίῳ θηριόπληκτον ποιεῖ. ὁ τοῦ δ' οἰκοδεσπότης ἐναντιούμενος τῷ τόπῳ ἢ ἐν τῷ ϛ' ἢ η' ἢ ιβ'· ἐπὶ ξένης τελευτήσει. Κρόνος καὶ Ἄρης καὶ Ἀφροδίτη ἐκεῖ τὰς γυναῖκας αὐτῶν φθείρουσιν ἀπὸ ὠμοτοκίας ἢ μανίας. Ἀφροδίτη ἐκεῖ ἐν τροπικοῖς μάλιστα Καρκίνῳ Αἰγοκέρωτι· πόρνας γαμοῦσι καὶ διὰ τοῦτο δανείοις περιπίπτουσι. Ἀναβιβάζων ἐκεῖ μετὰ Διὸς ἢ Ἀφροδίτης Σελήνης καὶ Ἡλίου <ὁρώντων>· ὁ οἶκος ἐν ᾧ γεννᾶται εὐτυχήσει. Ἥλιος μετὰ Κρόνου ἐκεῖ· ἄτεκνος γίνεται καὶ ἡ οἰκία, ἔνθα ἐγεννήθη, ἐρημοῦται ἢ ἀλλοτριοῦται τοῦ δεσπότου. Ἥλιος ἐκεῖ μετὰ Ἀναβιβάζοντος· ὁ πατὴρ μέγας ἔσται. εἰ δὲ συμπαρῇ Κρόνος καὶ Ἄρης, ἐρημοῦται ὁ οἶκος ἐν ᾧ ἐγεννήθη καὶ ὁ πατὴρ τελευτᾷ ἢ ἔκπτωσιν τῶν ὑπαρχόντων ἕξει, καὶ τὸ γεννώμενον ὀλιγοχρόνιον ἔσται ἢ ἐπὶ γυναικὶ καὶ τέκνοις ἀκαταστατήσει. εἰ δὲ Σελήνη καὶ Ἀφροδίτη τύχοιεν ἐν τῷ Ἀναβιβάζοντι, ἀστρολόγος ἔσται καὶ ἀπ' αὐτῆς τῆς ἐπιστήμης περίκτησις ἔσται αὐτῷ. εἰ δὲ Κρόνος καὶ Ἄρης καὶ Ἑρμῆς ἐκεῖ ὦσι χωρὶς Διὸς ἢ Ἀφροδίτης, κακοπαθήσει καὶ πάθος ἕξει καὶ σῖνος καὶ τομὰς καὶ κακοθανατήσει, καὶ ἡ οἰκία ἐν ᾗ ἐγεννήθη ἐκριζοῦται. ἐὰν δὲ τύχῃ ὁ Ἥλιος μετ' αὐτῶν, ὁ πατὴρ ταχέως τελευτᾷ. ἐὰν δὲ Σελήνη συνῇ Κρόνῳ Ἄρει Ἑρμεῖ, τὸ γεννηθὲν καὶ ἡ μητὴρ ταχέως τελευτῶσι. Καταβιβάζων ἐκεῖ τυχὼν μετὰ Διὸς ἢ Ἀφροδίτης· ἀβλαβὴς ἔσται ὁ τεχθείς. εἰ δὲ Ἥλιος ἢ Σελήνη ἐκεῖ ὦσιν, ἄμφω οἱ γονεῖς κακοθανατοῦσιν ἢ τυφλοῦνται ἢ κρημνίζονται.

Ἐν δὲ ἡμέρᾳ ὁ Κρόνου ἐκεῖ ὢν σωρευτὰς χρημάτων καὶ χρυσοφύλακας ποιεῖ, νυκτὸς δὲ γονικῶν ἀπώλειαν καὶ πατρὸς κίνδυνον καὶ νόσους τῷ τεχθέντι καὶ ἄδοξον τὴν νεότητα. μαρτυρήσας δὲ τῇ Σελήνῃ κατὰ διάμετρον ἢ τετράγωνον ἢ συμπαρουσίαν ἀτεκνίας ποιεῖ, ἀλλοτρίων δὲ τέκνων πατέρας ἢ ἐπιτρόπους. περὶ δὲ τὰ ἐντὸς καὶ στόμαχον μακρονοσίας ποιεῖ καὶ μητρὶ χηρείαν καὶ <ἐκ> γυναικείων ὄχλησιν.

1 πάντος P. 3-4 γενητικῆς P. 4 γίνονται A. 4-5 ἐπιθεωρήσει V : ἐπιθεωρίσει P. 5 καὶ om. A. δὲ γίνονται AV. 6 ἐν om. P. 7 θυριόπληκτον P. οἰκοδεσπότου A. 9 μανίας P : μαγίας A : μαγείας V; cf. p. 151, 12. 10 εἰκῆ A. τροπικῷ codd. 12 ὁρώντων suppl. 13-14 ἐνήθη sic P; cf. v. 16. 14 ἄλλο τοιοῦτον V. 17 ἔκπτωσιν P : ἐκ AV. 19 τύχοιεν scripsi : τύχοι AV : τύχωσιν P. 20 περικτίσεις P. αὐτοῦ A. Κρόνος et καὶ (alter.) om. AV. 21 ἢ om. AV. 23 ἐὰν V : εἰ PA. 24 καὶ Ἑρμ. P. τάχυ A. 25 τελευτᾷ AV. ἢ om. AV. 26 ἢ om. AV. 26-31 ἐκεῖ — τετράγωνον om. V. 28-33 cf. Firmic. Mat., III, 2, 8-9. 30 δὲ om. P. 31 συμπαρουσία AV. 32 πατέρες AV. καὶ AV : ἢ P. στόμαχον AV : στόμαχα P. Fuit στομάχου? Aliqua hic desunt post ἐντός, cf. Firm., p. 99, 14 et 17. 33 ἐκ suppl.; cf. Firmic. « ex mulieribus ». γυναικίων P : γυναικείαν AV.

Digitized by Microsoft®

Ὁ δὲ Διὸς ἐκεῖ κατὰ αἵρεσιν μεγάλους ἡγεμόνας, γνωστοὺς ἄρχουσι δημόσια πράγματα πράσσοντας, εὐσεβοῦντας, ἐν θεοῖς ἑαυτοὺς ἐμπιστεύοντας καὶ ὑπὸ θεῶν ὁδηγουμένους, περὶ τῶν μελλόντων <προνοοῦντας>. τινὲς δὲ καὶ τάξεις ἐν ἱεροῖς ἔχουσι καὶ εὑρεμάτων καταξιοῦνται· διὸ καὶ τὸ γῆρας καλῶς διάξουσι. παραιρέτης δὲ ὢν μετρίους ποιεῖ, τοῖς δὲ κατὰ πρόβασιν χρόνοις εὐτυχεστέρους καὶ ἐνδοξοτέρους.

Ὁ δὲ Ἄρεως ἐκεῖ νυκτὸς ὢν στρατηλάτας, ἐπιμόχθους, ἐρημοβάτας, θηρίων ἡγεμόνας, πεζούς, ἀγγέλους βασιλικούς. ἡμέρας δέ πτωματικούς, νοσεροὺς καὶ τομῆς σιδήρου διὰ νόσον πειρωμένους καὶ ἀδικουμένους ὑπὸ γυναικῶν καὶ ἀχαριστουμένους. ἐὰν δὲ καὶ τῷ Ἡλίῳ μαρτυρῶν ᾖ Κρόνος ἢ συμπαρὼν ἢ τετράγωνος ἢ διάμετρος, πολυκινδύνους ἀποτελεῖ, ἔτι δὲ καὶ μανιώδεις καὶ ἐπιλήπτους, ἐάνπερ οἰκοδεσποτήσῃ τοῦ κλήρου τῆς τύχης ἢ τοῦ ὡροσκόπου ἢ τοῦ δαίμονος.

Ὁ δὲ Ἡλίου ἐκεῖ ὢν τὸν τικτόμενον φθείρει μετὰ τῶν γονέων ἢ τὸν βίον αὐτοῦ ** κατὰ τὴν τῶν μαρτυρούντων αὐτῷ ἀστέρων διάκρισιν.

Ἐὰν δὲ Ἀφροδίτη ἐκεῖ ᾖ ἐπὶ τῆς προβάσεως τῶν ἐτῶν εὐτυχοῦντας ἀποτελεῖ καὶ μεγάλων φίλους καὶ ἐπαφροδίτους, ἐπὶ δὲ τῆς νεότητος εὐσχήμονας μὲν τῷ βίῳ, ἀνενδεεῖς δὲ καὶ ἐμπαθεῖς. ἐν δὲ τροπικῷ ἢ δισώμῳ χηρείας ἀποτελεῖ καὶ βλάβας καὶ μάχας ἕνεκα γυναικῶν. ἐν δὲ τοῖς στερεοῖς εὐνοηθήσονται ὑπὸ γυναικῶν ὠφελούμενοι, χωρὶς τοῦ τὴν Ἀφροδίτην Ὑδροχόῳ ὑπὸ Σελήνης ἐναντιοῦσθαι, οὗ γὰρ ἀσπέρμους καὶ στειρώδεις καὶ δυσγάμους ἢ παιδεράστας ἀποτελεῖ.

Ἐκεῖ δὲ ὁ τοῦ Ἑρμοῦ ἑῷος τυχὼν μυστηρίων ἀπορρήτων ἀναδείκνυσι μετόχους. ἐπὰν δὲ Κρόνος ἢ Ἄρης ἐν ἰδίῳ σχήματι αὐτὸν θεωρήσωσι, κρίσεων ἢ συνοχῆς ἢ καταδίκης μετέχοντας ποιοῦσιν. ἑσπέριος δὲ χρυσίου τορευτὰς ἢ καὶ εὑρετὰς ἢ τῶν ἀποκρύφων μύστας ἢ ἀριθμῶν <ἐπιστήμονας> ἢ παλαίστρας ἡγεμόνας ποιήσει.

Σελήνη δὲ ἐκεῖ καθ' αἵρεσιν μητέρα ἔνδοξον τελεῖ καὶ τῷ γεννηθέντι αὐξήσει τὸν βίον. παρ' αἵρεσιν δὲ μητέρας μὲν ἀγενεῖς, εὐπόρους δὲ

1-6 cf. Firmic. Mat., III, 3, 6-7. 2 ἑαυτοῖς P. 3-4 προνοοῦντας suppl.; cf. Firmic. « futura praenoscunt ». 4 τάξεις AV : κατάρξεις P. ἱερεῖς P. ἴσχουσι AV. 5 καλῶς P : καλὸν AV. παραιρέτης PV : παραρέπει A. 7-13 cf. Firmic. Mat., III, 4, 9-11. 8 βασιλ' (sic) AV. Leg. apud Firm., p. 116, 22 « cursores » pro « eversores »; cf. ibid., p. 106, 28. 9 τομὴ P. 11 ἢ ante διάμ. om. A. 12 οἰκοδεσποτήσῃ V : οἰκοδεσπότης' A : οἰκοδεσποτίσει P. 14-15 cf. Firmic. Mat., III, 5, 17. 14 τικτόμενον AV : τικῶντα μόνον P. 15 Lacunam sign.; cf. Firmic. τὴν om. P. 16-22 cf. Firmic. Mat., III, 6, 9. 16 εἰ VP. 17 φύλλους P. ἀφροδήτους P. 19 χηρείας V : χρείας AP : « viduitates » Firm. 21 Ὑδροχόῳ] est enim ὀλιγογόνος; cf. Maximum, 108, 22 Ludw.; Maneth., I, 106 [Kroll ad Firm.]. ἢ ὑπὸ P. 21-22 οὐ γὰρ ἀσπέρμους P : ἀσπέρμους γὰρ V : ἀσπέρμους A. 23-27 cf. Firmic. Mat., III, 7, 7. 23 ὁ om. A. 24 αὐτὸν V : αὐτοῦ PA. 25 ἢ καταδίκης ἢ συνόχης AV : « custodias carceris, damnationes » Firm. 26 Leg. σωρευτάς? cf. p. 154, 5; sed Firmicus habet « aurifices ». καὶ om. P. μύστας corr. : κτίστας codd; cf. Vett. Val., p. 405 Kroll, s. v. 27 ἐπιστήμονας suppl. : « calculo instructo » Firmic. 28-p. 152, 4 cf. Firmic. Mat., III, 13, 7. 28 τελεῖ AV : δειλοῖ P (pro δηλοῖ) : « faciet » Firm.

Digitized by Microsoft®

ποιεῖ· καὶ ἐν δόσεσι καὶ λήψεσι γίνονται, ἐάνπερ ὁ Ἥλιος μὴ ὡροσκοπῇ. εἰ δὲ Ἥλιος ὡροσκοπεῖ, δόξης καὶ προεδρίας καὶ δυναστείας ἢ βασιλείας ἀξιοῦνται, τοῦ Κρόνου ἢ Ἄρεως ἡμέρας τε καὶ νυκτὸς τοῦ Ἡλίου ἤτοι τοῦ ὡροσκόπου ἀπόντος.

Τόπος πέμπτος.

Ὁ πέμπτος τόπος ἀπὸ ὡροσκόπου καλεῖται Ἀγαθὴ Τύχη καὶ ἐπιπόρευσις. ἔστι δὲ τόπος Ἀφροδίτης· χαίρει γὰρ ἐκεῖ. ὅταν οὖν Ζεὺς ἢ Ἀφροδίτη ἐκεῖ τύχωσι οἰκοδεσποτοῦντες ἢ τοῦ κλήρου τῆς τύχης ἢ τοῦ ὡροσκόπου, ὁ γεννώμενος ἄρχει διὰ λαοῦ· μάλιστα δὲ ἡ Ἀφροδίτη ** ἰδιοπροσωποῦσα ἔξαυγος. ὁ γὰρ τοιοῦτος κυριεύσει χώρας καὶ ἐπαφρόδιτος ἔσται καὶ εὐσχήμων καὶ τιμὰς ἕξει πρὸς ὅλων, εἴπερ μὴ θεωρεῖται ὑπὸ κακοποιοῦ. ὁ δὲ Ζεὺς καὶ ἀγαθὸν σύμβουλον πρὸς τοῖς εἰρημένοις ποιεῖ. ὁ δὲ Ἄρης ἐκεῖ τύραννον, στρατηγόν. ὁ δὲ κύριος τοῦ ὡροσκόπου ἢ <ὁ κύριος> τῆς τύχης ἐκεῖ ἰδιοπροσωποῦντες ποιοῦσι κυρίους ζωῆς καὶ θανάτου. ὁ δὲ Κρόνος ἐκεῖ πολυκτήμονας, ἐγγείων ἄρχοντας, θεμελίων κτίστας ἢ χωρῶν ἢ πόλεων. ὁ δὲ Ἥλιος ἐκεῖ ἰδιοπροσωπῶν βασιλέων φίλους καὶ ἱερῶν θείων ἄρχοντας· ὁ δὲ Ἑρμῆς πολυπείρους καὶ γραμματεῖς ποιεῖ, προκόπτοντας διὰ λόγων καὶ πίστιν χρημάτων ἔχοντας, μάλιστα δὲ εἴ ἐστιν ἔξαυγος καὶ ἰδιοπροσωπεῖ μὴ ὁρῶντος Ἄρεως ἢ Κρόνου. ἡ δὲ Σελήνη ἐκεῖ καλῶς κειμένη εὐτυχεῖς ποιεῖ, μάλιστα οἰκοδεσποτοῦσα τοῦ κλήρου τῆς τύχης ἢ τοῦ ὡροσκόπου καὶ ἰδιοπροσωποῦσα καὶ τοῖς ἀριθμοῖς προστιθεῖσα. ἀλλ᾽ οἱ μὲν ἀγαθοὶ συμπαρόντες αὐτῇ τὰ ἀγαθὰ δώσουσιν, οἱ δὲ κακοποιοὶ θραύσουσιν.

Ἐὰν δὲ ὁ οἰκοδεσπότης τοῦ ιβʹ ἐν τῷ εʹ ἢ ηʹ ᾖ, ἢ ὁ κύριος τοῦ εʹ ἐν τῷ ιβʹ, ἔσται πατρυιὸς παίδων ἀλλοτρίων τροφεύς· ἐὰν δὲ ὁ κύριος τοῦ εʹ ἢ ὁ κύριος τοῦ κλήρου τῶν τέκνων ἐν τῷ ηʹ ᾖ, ἀτέκνους ποιεῖ ἢ τέκνα θάπτοντας. ἐὰν δὲ ὁ κύριος τοῦ γαμοστόλου ἐν τῷ εʹ ᾖ ἢ τοῦ κλήρου τοῦ γάμου, εὔγαμον ἄνδρα ποιεῖ καὶ χήραν λήψεται ἔχουσαν υἱόν.

1 μὴ ὁ ἥλιος V. 2 εἰ — ὡροσκόπει om. P. 3 τοῦ δὲ AP. 4 ἤτοι τοῦ ὡροσκόπου ἀπόντος P : ἤτοι ὡροσκ(οποῦντος) ἢ ἀπόντος AV. 5 ss. **P**, f. 103; **A**, f. 11; **V**, f. 33. 5 πέμπτος τόπος A : om. P. 6 ὁ om. P. ἀπὸ ὡροσκ. om. AV. 7 γὰρ ex δὲ m. 1 corr. A. 7-23 = Vett. Val, II, p. 66, 9-28. 8 τύχ᾽ A : τύχῃ PV. οἰκοδεσπότ᾽ V. 9 τοῦ ὡροσκόπου] τὴν ὥραν λαχόντες Val. γενόμενος P. ἡ om. AV. 10 Lacunam signavi; deest μέγιστα χαρίζεται (Val) vel simile quid. 11 εὐκτήμων Val. ὅλων] ὄχλων? cf. p. 153, 20 et Val., 66, 10. 12 ἀγαθὰ (vel -θῷ) σύμβολον P. 14 ὁ κύριος suppl. 15 κύριον P. 15-16 πολυκτήμονας ἐγγαίων καὶ τετραπόδων δεσπότας Val 17 θείων delendum? 18 πολυσπείρους A. 19 καὶ ante χρημ. add. P. ἔξαυστος V. ἰδιοπροσωπῶν P. μὴ] καὶ V. 21 οἰκοδεσποτοῦσα PV : εὐτυχοῦσα V. 22 τῶν ἀριθμῶν A. προστιθεῖσα V : προσθετικὰ P : προστίθεται A. 23 θραύσουσιν] οὐκ ἰσχύουσι βλάπτειν Valens. 24 ἢ ηʹ ᾖ, ἢ corr. : ἢ ηʹ ἢ P : ᾖ ἢ ᾖ καὶ V. 25 πατριὸς codd. 27 ἐὰν P : εἰ AV. γαμοστόλου, i. e. loci VII

Digitized by Microsoft®

Εἰ δὲ Ἀναβιβάζων ἐκεῖ μετὰ Διός, Ἀφροδίτης, Ἑρμοῦ ᾖ ἐπιθεωρούντων τὸν τόπον, εὔτεκνος ἔσται καὶ ὀνομαστὰ ἕξει τέκνα. ἐὰν δὲ Ἄρης ἢ Κρόνος τὸν τόπον ἴδωσι, τὰ πρῶτα τέκνα ἀπολέσει ἢ ἐν ἐνιαυτῷ βιοθανατήσει. ἐὰν δὲ Ἥλιος ἐκεῖ τύχῃ ἢ ἐπιθεωρήσῃ, τῶν μὲν κακῶν ἀπαλλαγήσεται, τέκνα δὲ αὐτοῦ σινωθήσεται. ἐὰν δὲ Καταβιβάζων ἐκεῖ ᾖ μετὰ Κρόνου Ἄρεως Ἑρμοῦ, τὰ πρῶτα τέκνα ἀπολέσει καὶ ἀπὸ γυναικῶν εὐτυχήσει. ἐὰν δὲ μετὰ Διὸς Ἀφροδίτης ᾖ ἐπιθεωρούντων, ὁ υἱὸς αὐτοῦ ξενιτεύσας οὐχ' ὑποστρέψει.

Κρόνος δέ ** ἐγγίσας βραδυτέρας τὰς βασιλείας καὶ τὰς ἡγεμονίας δίδωσιν. ἐάνπερ ὁ Ἥλιος ὡροσκοπῇ, ἐκδεχόμενος [δὲ] καὶ τὴν συναφὴν τῆς Σελήνης αὐξιφωτούσης, μετὰ ἀγαθοῦ τὰς ἀρχὰς δίδωσιν. ἐὰν δὲ μὴ ὡροσκοπῇ, Ἥλιος, Κρόνος δέ ἐστιν ἐκεῖ, προβαινόντων τῶν χρόνων τὰ τέλεια κτωμένους ἀποτελεῖ. ἐπὶ δὲ νεότητος ἀνώμαλός ἐστι καὶ μειοῖ τὰ ὑπάρχοντα νεοῖς. νυκτὸς δὲ βραδυτέρους ταῖς ἐπιβολαῖς καὶ ἀργοτέρους ταῖς πράξεσι ποιεῖ. τινὰς δὲ καὶ ἐκπίπτοντας ἐκ τῶν περικτηθέντων.

Ζεὺς δὲ ἐκεῖ ἡμέρας καὶ νυκτὸς ἰσχυρός ἐστιν· γενήσονται γὰρ ἐπ' ἀγαθῷ τὸ κράτος ἔχοντες.

Ὁ δὲ Ἄρης νυκτὸς ἐκεῖ πολλῶν ἀγαθῶν ὑπάρξεις ποιήσει, ἐνδόξους τε <καὶ> ὑπὸ ὄχλων <τιμωμένους> καὶ γνωστοὺς ἄρχουσιν· ἐὰν δὲ ἐν ἰδίῳ οἴκῳ ἢ μοίρᾳ ἢ δεκανῷ συμπαρούσης Σελήνης, μεγάλους δυνάστας, φοβεροὺς ἐπὶ στρατοπέδου. τῆς δὲ Σελήνης ἀπούσης, ἐὰν ὁ τῆς Ἀφροδίτης παρῇ ἢ τρίγωνος αὐτοῦ ἢ ἑξάγωνος, εὐδαίμονας ποιεῖ καὶ προσεκτικοὺς ἐν ταῖς πράξεσι καὶ ἐπαφροδίτους. ἡμέρας δὲ ἐκεῖ ξενιτείας ποιεῖ βλαβερὰς καὶ ἐπικινδύνους· πλὴν Ζεὺς ἢ Ἀφροδίτη ἰδόντες ὠφελοῦσιν ἐν ξενιτείαις καὶ ταχεῖαι ἔσονται ὑπονοστήσεις.

Ἡλίου δὲ ὄντος ἐκεῖ μετριώτεροί εἰσιν πρὸς τὰς εὐδαιμονίας καὶ ἄτεκνοι ἢ δυστυχεῖς ἐπὶ τέκνοις.

1 Ζεὺς (signo astr.) ἐκεῖ μετὰ Ἀφροδ. AV. 1-2 ᾖ ἐπιθεωρούντων corr. : ᾗ (ἢ P) ἐπιθεωροῦντες codd. 2-3 εὔτεκνος — τὸν τόπον om. V. 2 ἄτεκνος A. 3 ἀπολοῦνται P. ἐν ἐνιαυτῷ corr. : ἐν αὐτῷ codd.; cf. Ptolem., *Tetr.*, Περὶ ἀτρόφων (III, 2), p. 124, ed. 1553. 4 δὲ om. P. 5 τέκνα AV : τέκνον P. 7 εὐτυχήσει om. A et spatio relicto V. ἐπιθεωροῦντες (-ταις P) codd. : corr. 8 οὐχὶ προστρέψῃ sic P. 9-16 cf. Firmic. Mat., III, 2, 10. Aliqua desunt de Saturni positione. 10 δὲ del. 11 τὰς ἀρχὰς scripsi : καὶ ἀρχὰς P : καὶ ἄρχοντας AV. δὲ om. AV. 13 ss. Ordo sententiarum turbatus; cf. Firmic., p. 100, 2 ss. 13 ἀνώμαλλως ἔσται P. 14 βραδυτέρας AV. 15 καὶ om. V. 15-16 περικτισθέντων P. 17-18 cf. Firmic. Mat., III, 3, 8. Multa de Iove desunt. 17 Ζεὺς PA : Ἄρης signo astr. V. ἐκεῖ om. AV. 19-26 cf. Firmic. III, 4, 12-14. 19 νυκτὸς] signum non noctis sed Veneris P. 20 καὶ et τιμωμένους suppl ; cf. Firm. « honores a populo decerni » et supra p. 152, 11 adn.; infra p. 168, 7. δὲ ἐν om. V. 23 αὐτοῦ om. AV. 26 ἐν ξενιτείαις AV : αἱ ξενιτεῖαι P. 27-28 cf. Firmic. Mat., III, 5, 18 (p. 133, 10). Multa de Sole desunt. 27 εἰσιν om. AV.

Digitized by Microsoft®

Ἀφροδίτη δὲ ἐκεῖ ἀγωνιστὰς ἀγαθούς, πλουσίων ἄθλων νικητάς, δυναστικούς, ἐν πᾶσι τύχην ἔχοντας, τὰ μέλλοντα προθεσπίζοντας, γνωστοὺς ἄρχουσιν, ὑπὸ γυναικῶν σωματοποιουμένους ἢ ἀπὸ ἀφροσίων ἔργων προβιβαζομένους καὶ κατὰ πρόβασιν τῶν ἐτῶν κτωμένους.

Ἐπὶ δὲ τοῦ ϛ' ἑῷος τυχὼν ὁ Ἑρμῆς χρυσοῦ σωρευτὰς καὶ ἀγαθῶν ἐφευρετὰς ἢ ἀλλοτρίων χρημάτων ἡγεμόνας ποιεῖ καὶ πολυχρονίους καὶ εὐτέκνους. ἑσπέριος δὲ οὐ τηρητὴς οὐδὲ φύλαξ <χρημάτων> γενήσεται, ἀλλὰ σκορπιστὴς τῶν ἐν ἀποκρύφῳ κειμένων. ποιεῖ δὲ πραγματικοὺς ἢ διδασκάλους ἢ γεωμέτρας ἢ ἀριθμητικῶν ἢ παλαιστρικῶν ἡγεμόνας. ἐκδεχόμενος δὲ καὶ τὴν συναφὴν αὐξιφωτούσης Σελήνης λευκαῖς ἐπισπιλώσει τὸν γεννώμενον, ἢ πάθος ἕξει. μειουμένης δέ, ἀσχήμονα τὰ σίνη ποιεῖ ἢ καὶ τὰς φρένας βλάπτει.

Σελήνη δὲ ἐκεῖ νυκτὸς πολυχαριεστάτη γενήσεται. ποιεῖ γὰρ ἡγεμόνας, εὐδαίμονας, ἐπιδόξους, προέδρους, ἐκ γονέων ἀγαθὰ ἔχοντας, εἴπερ μὴ μαρτυρεῖται ὑπὸ Κρόνου ἢ Ἄρεως. ἡμέρας δὲ ξενιτείας ἀποτελεῖ, γονέων ἀλλοτριώσεις ἢ ὀρφανίας, κατὰ δὲ πρόβασιν εὐδαιμονίσει.

Τόπος ἕκτος.

Ὁ δὲ ἕκτος τόπος καλεῖται φαῦλον ἀπόκλιμα καὶ πρόδυσις καὶ προκαταφορὰ καὶ μετακόσμιος [1] καὶ Κακὴ Τύχη. σημαίνει δὲ περὶ σίνους καὶ δούλων καὶ ἐχθρῶν καὶ τετραπόδων, ἔσθ' ὅτε δὲ καὶ περὶ πράξεως διὰ τὸ εἶναι δεξιὸν τρίγωνον τοῦ μεσουρανήματος, ἀλλὰ καὶ τοῦ περὶ

1-4 cf. Firmic. Mat., III, 6, 10-11. 3 Leg. χρηματοποιουμένους? « patrimonia maxima conferantur » Firm. 4 τῶν AV : δὲ P. 5-12 cf. Firmic. Mat., III, 7, 8-10. Haec infra in undecimo loco repetuntur. 5 δὲ om. P. ἑσπέριος ἢ ἑῷος ἀνατολικὸς in loco XI. ἀγαθοῦ P. 6 ἢ ἡμιθέων τρόπων ἐπέχοντας supplendum ex loco XI, cf. Firmic. « qui divinis moribus esse videantur ». 7 τηρητὴς AV : τι ῥῆτον sic P. χρημάτων suppl. ex loco XI : « pecunias servare » Firm. 8 Post κειμένων] γενήσεται add. P. 8-9 γραμματικοὺς PV; sed cf. loc. XI et Firmic. « negotiosos ». 9 διδασκαλικοὺς V. Post διδασκάλους] ἢ ἐπὶ λογιστηρίων θεωρουμένους in loco XI; cf. Firmic., p. 158, 27. 10 καὶ om. AV. 11 Plura in loco XI servantur. λευκαῖς σπηλωσ' P, cf. locum XI : ἐπισπιλώσει V : post spatium ἐπισπηλωσ' A. γενόμενον P. 13 ss. plenius in loco XI servantur. 13-16 Desunt in Firmico folio avulso (189, 9). sed infra in loco XI repetuntur. 13 πολυχαριέστατος PV, cf. loc. XI. 14 ἀγαθῶν ἔχοντα P. 15 ὑπὲρ P. 16 πρόσβασιν codd.; cf. p. 151, 16; 153, 12 et loc. XI. εὐδαίμον(ας) V : εὐδαιμον(ίαν) A. 17 **P**, f. 104; **V**, f. 34; **A**, f. 11v. Ἕκτος τόπος A: τόπος ϛ' P. 18 ὁ δὲ om. P. ἕκτος P: ϛ' AV. ἀπόκλιμα om. V. 19 μετάκυσμιον P. περὶ σίνους AV : περισσίνης P. 20 πράξεων V. 21 δεξιὸν om. P τὸ μεσουράνημα AV.

[1] Μετακόσμιος dicitur, quia primus locus est hemisphaerii mortis, cf. *Revue de Philologie*, 1918, p. 74. Vide etiam infra ad locum IX, p. 163 n.

Digitized by Microsoft®

ποδῶν τόπου καὶ τῶν παθῶν τῶν περὶ τοὺς πόδας. οἱ οὖν κακοποιοὶ ἐκεῖ ποιοῦσι πάθη ἢ σίνη περὶ τοὺς πόδας καὶ ἀποβολὰς χρημάτων.

Ἥλιος δὲ ἐκεῖ· καταδυναστευθήσεται παρ' ὑπερεχόντων καὶ ἐν ὑποταγῇ ἔσται, ὅθεν δοῦλον τὸν πατέρα ποιεῖ ἢ ἀγενῆ ἢ σεσινωμένον, πάντως δὲ ἀλλόφυλον, μάλιστα δὲ εἰ καὶ ὁ οἰκοδεσπότης τοῦ Ἡλίου ἐκεῖ εἴη ἢ ὁ κλῆρος τοῦ πατρὸς ἢ τὸ δωδεκατημόριον τοῦ Ἡλίου ἢ οἱ τριγωνοκράτορες τοῦ Ἡλίου. ταῦτα γὰρ τὰ σχήματα δεικνύουσιν ἀγενεῖς ἢ σεσινωμένους ἢ ἐκπτώτους τοὺς γονεῖς ἢ ξένους. τὰ δ' αὐτὰ νόει καὶ ἀπὸ τῆς Σελήνης περὶ τῆς μητρὸς καὶ <ἀπὸ> τοῦ οἰκοδεσπότου καὶ τοῦ δωδεκατημορίου. μάλιστα καὶ ἐὰν ἐν τῷ Καταβιβάζοντι τύχωσιν οἱ φωστῆρες, ὑβρισμένους τοὺς γονεῖς προλέγε· καὶ ἐὰν ὁ Κρόνος ἐπιπαρῇ τῷ τόπῳ, πλανήτην καὶ ζημιώδη ποιεῖ τὸν γεννώμενον καταλιπόντα τὰ ἑαυτοῦ μετὰ λύπης. Ζεὺς δὲ ἐκεῖ· ἐν δημοσίοις πράγμασι ζημιωθήσεται. Ἀφροδίτη δέ· διὰ γυναῖκα <ἢ> εἰς γυναῖκα ζημιωθήσεται καὶ κρίσεις ἕξει πρὸς τὸ γένος· μίγνυται δὲ δούλαις ἢ μισθίαις ἢ σεσινωμέναις· ἔσονται δὲ καὶ ἀναφρόδιτοι καὶ ἀχάρεις. Ἄρης δὲ ἐκεῖ σῖνος περὶ τοὺς πόδας ποιεῖ, κακίζει δὲ καὶ τὸν περὶ δούλων λόγον· καὶ ἐχθρῶν ἐπαναστάσεις καὶ ἐπὶ ξένης κινδύνους καὶ σῖνος δίδωσιν οὗ ἐστὶ τὸ ζῴδιον οἰκεῖον ἔνθα ὁ Ἄρης. ὁ δὲ Ἑρμῆς ἐκεῖ κακοβούλους, κλέπτας, ἀλλοτρίων ἐπιθυμητάς, κακολόγους, δυσεπιτεύκτους· καὶ κακὰς φήμας κτήσονται. Ἥλιος δὲ καὶ Σελήνη συνοδεύοντες ἐκεῖ μανικούς, ἐπιλήπτους, φρενοβλαβεῖς. Κρόνος δὲ ἐκεῖ ἐξ ὑγρῶν καὶ ψυγμῶν καὶ μελαίνης χολῆς ποιεῖ τὸ σῖνος ἢ πάθος, ἔσθ' ὅτε δὲ καὶ παρέσεις, ποδάγρας, χειράγρας, χειρῶν ἕλκη πρὸς τὴν τοῦ ζῳδίου φύσιν, μάλιστα νυκτός. ὁ δὲ Ἄρης ἐκεῖ ποιεῖ τομάς, καύσεις, θηριοδήκτους, βίας, πληγάς, ληστῶν <ἐφόδους>, εἴπερ εἴη ἑῷος ἀνατολικός. εἰ δὲ ὕπαυγος, κρυπτὰ πάθη τῶν σπλάγχνων ἢ αἱμορροίας πρὸς τὸ ζῴδιον καὶ μᾶλλον ἡμέρας.

1 Post τοὺς πόδας] καὶ ἀποβολὰς χρημάτων add. P, cf. v. 2. 2 πάθος AV. 3 ss. cf. Vett. Val., II, 10, p. 65, 23 ss.; Paul. Alex., M, 3. 4 τὸν om. AV. ποιήσει V. 5 πάντως corr.: πάντα codd. καὶ εἰ V. τοῦ om. AV. 6 ἐκεῖ ᾖ ἢ καὶ (καὶ om. V) AV. 7 σχήματα AV : κτήματα P. 8 ἢ ἀγενεῖς V. ξένης A, 9 ἀπὸ suppl. 9-10 τὸν οἰκοδεσπότην καὶ τὸ δωδεκατημόριον PA. 11 ἡμβρισμένους P. προσλεγ' A. 12 γενόμενον P. 12-13 καταλιπόντα AV : κατὰ λοιπὸν P. 14-20 cf. Vett. Val., p. 65, 26-66, 3 14 διὰ γυναῖκα A et Val. : διὰ γυναικῶν PV. ἢ suppl εἰς γυναῖκα om. V; cf. p. 141, 2. 15 γένος AV : γενόμενον P. μιγνύνται A. μισθίαις A : μοιχείας sic P : om. V. 16 ἀνεπαφρόδιτοι corr. Kroll ad Val. ἄχαρις codd. 17 ἐγχθρῶν P. 18 ξένοις κινδύνοις P. 18-19 Fort. κατὰ τὸ μέλος ὅ ἐστι τοῦ ζῳδίου οἰκεῖον, cf. Val., p. 66, 1. οἰκεῖον AV : οἰκίῳ P. 21 δὲ καὶ om. AV. 22 ψυχρῶν AV. 23 ποιεῖ τὸ scripsi : ποιεῖται codd. ἢ corr. : καὶ codd. 24 χειράγρας A : πυράγρας P : om. V. τοῦ om. P. 25 et 27 secundum signi naturam; cf. cap. ξα'. 25 An θηριοδηγμούς? 26 ἐφόδους suppl., cf. p. 129, 2 et cap. ξα' s. fine. εἰ δὲ om. V. 27 Post αἱμορροίας] ἢ AV; verbum deest?

Digitized by Microsoft®

Ζεὺς οἰκοδεσποτήσας τοῦ ϛʹ, βλαπτόμενος ὑπὸ Κρόνου ἢ Ἄρεως ἑστὼς ἐν τῷ ϛʹ κακῶς ἢ τῷ ιβʹ ποιεῖ ἡπατικοὺς καὶ ἀπὸ οἴνου βλάβας. Ἀφροδίτη δὲ οἰκοδεσποτοῦσα τοῦ ϛʹ κακῶς κειμένη καὶ ὑπὸ Ἄρεως ἢ Κρόνου θεωρουμένη γυναικομανεῖς ποιήσει· ἐὰν δὲ ἐν ἀρσενικῷ ζῳδίῳ ᾖ, παιδεράστας, καὶ διὰ τοῦτο πολλὰ κακὰ πείσονται· πάθος δὲ ἕξουσι καὶ περὶ τὸν πνεύμονα. Ἑρμῆς δὲ οἰκοδεσποτήσας τοῦ ϛʹ ὑπὸ Κρόνου ἢ Ἄρεως θεωρούμενος σινώσει τὰς ἀκοὰς ἢ τὴν λαλίαν ἢ τὸν λαιμόν. Ἥλιος Ἄρης Σελήνη κακοσχημάτιστοι κείμενοι ἐκεῖ τὴν ὅρασιν κακοῦσιν. ἡ δὲ Σελήνη καὶ σπληνικοὺς ποιεῖ. Σελήνη μεστὴ πρὸς Ἄρεα φερομένη χωλούς, κυλλούς. Ἥλιος· ἐκεῖ οἴκῳ Ἀφροδίτης κακώσει διὰ γυναῖκα.

Ὁ τοῦ δʹ οἰκοδεσπότης ἐπιπαρὼν τῷ ϛʹ ἢ ὁ τοῦ ηʹ ἢ ὁ τοῦ θʹ πλανήτας καὶ ἐπὶ ξένης θνήσκοντας. ὁ κύριος τοῦ ζʹ ἐν τῷ ϛʹ ἢ ὁ κλῆρος τοῦ γάμου ἢ ὁ κύριος τοῦ κλήρου τοῦ γάμου, μίγνυσι δούλαις, σεσινωμέναις, οἰκτραῖς. Κρόνος Ἄρης Ἀφροδίτη συμπαρόντες ἐκεῖ γαμετὰς φθείρουσι κακῶς. ὁ κύριος τοῦ γʹ ἐν τῷ ϛʹ ποιεῖ κάκωσιν ὑπὸ φίλων ἢ ἀδελφῶν ἢ σίνει τοὺς ἀδελφούς. τὸ δωδεκατημόριον τῆς Σελήνης ἐν τῷ ϛʹ σινοῖ τὸ γεννώμενον καὶ τὴν μητέρα αὐτοῦ ἀγενῆ λέγει· τὸ δʹ αὐτὸ καὶ τὸ τοῦ Ἡλίου ποιεῖ ἐπὶ τοῦ πατρός.

Ἀναβιβάζων ἐν τῷ ϛʹ μετὰ Ἄρεως καὶ Κρόνου ὢν ἢ ἐπιθεωρούμενος πρὸς αὐτῶν· κρημνισθήσεται ἐν ὕδατι ἢ ἐν φρέατι ἢ σινοῦται ὀστοῦν αὐτοῦ. Ζεὺς Ἥλιος Σελήνη ἐκεῖ, εἰ θεωρήσουσι Κρόνον ἢ Ἄρεα ἐκεῖ ὄντας, ἀπαλλάσσουσι τῶν κακῶν τούτων, πλὴν συντηρείτω ἑαυτὸν ἕως ἐτῶν κϛʹ καὶ ἕως ἐτῶν λεʹ, καὶ τότε ἔσται ἄφοβος. Καταβιβάζων ἐν τῷ ϛʹ· κακοπαθήσει ἐν νεότητι. Ζεὺς δὲ καὶ Ἀφροδίτη ἐκεῖ· πάθος κρυπτὸν ἕξει. εἰ δὲ Κρόνος καὶ Ἄρης, ἀπαλλαγήσεται κακῶν, πλὴν σινοῦται αὐτῷ μέλος τοῦ σώματος.

Νυκτὸς δὲ Κρόνος ἐκεῖ ἔκλειψιν τῶν πατρικῶν ποιήσει, καὶ χάριν δούλων κινδύνους καὶ ἐπιβουλάς. τινὲς δὲ καὶ σινοῦνται. ἡμέρας δὲ μετριάζεται τὰ κακά. ἐὰν δὲ καὶ πρὸς τὴν Σελήνην τετράγωνος <ᾖ> ἢ

1 ss. Similia in cap. ξαʹ traduntur. 1 οἰκοδεσποτήσει P. 2 κακῶς om. AV. ἡπατικοὺς corr. : ὑπατικοὺς P : ὑποτακτικοὺς AV. Leg. καὶ οἰνοβλαβεῖς sicut in cap. ξαʹ? 3 δὲ om. AV. κακῶς P : καλῶς AV. ἢ om. AV. 5 ᾖ] εἴη P. παιδεράστας AV : εὐεράστας P. πίσσονται κακὰ sic P. πάθη AV. 7 ἢ om. AV. Cf. cap. ξαʹ : κωφοὺς ἢ ἀλάλους ἢ βράγχους κ. τ. λ. 9 ss. Similia in cap. ξαʹ. 9 ποιεῖ om. P. 10 Ante κυλλούς] τυφλοὺς expunct. P. 12 ἐπιπαρὼν τῷ (τοῦ P) ϛʹ οἰκοδεσπότ(η) codd., corr. ὁ ante τοῦ θʹ om. AV. 13 ξένοις P. 14 μίγνυσι AV : μὴ P ; cf. 157, 13. 18 αὐτοῦ om. P. 19 λέγει V : λέγ' A : λέγεται P. 20 καὶ P : om. AV. 21 τὸ ὀστοῦν AV ; cf. p. 129, 5. 23 ὄντας V : ὄντα P : ὄντος A. ἑαυτὸν AV : ἑαυταῖς P. 25 κακοπαθῆ V. 27 αὐτῷ P. 28-p. 157, 3 cf. Firmic. Mat., III, 2, 26 et supra p. 129, 18 ss. 28 δὲ AV : καὶ P. ἐκεῖ ἔκληττον τὸν πατρικὸν sic P : « patrimonium dissipat » Firm. 29 ἀποβολὰς codd. : corr. ; cf. p. 129, 19 ; 157, 6. 30 ᾖ suppl.

Digitized by Microsoft®

διαμέτρος, ἀστασίας καὶ φθίσεις ποιεῖ, εἰ μὴ ὁ Ζεὺς μαρτυρήσει ἢ τῇ Σελήνῃ ἢ τῷ Κρόνῳ καὶ ἐκ μέρους ὠφελήσει. ποιεῖ δὲ καὶ νοσηματώδεις.

Ζεὺς ἐν τῷ ϛʹ μάχας καὶ κρίσεις πρὸς ὑπερέχοντας ποιεῖ· καὶ κακὸς γίνεται ὁ Ζεὺς ἀεὶ ἐν τῷ ϛʹ καὶ ιβʹ μάλιστα νυκτός.

Ἄρης ἐν τῷ ϛʹ πάθη καὶ σίνη ποιεῖ καὶ κινδύνους καὶ ἐπιβουλὰς ἕνεκα δούλων ἢ κατακρίτων ἢ συνεχομένων μάλιστα ἡμέρας. ἐπίκεντρος δὲ Ἄρης ὢν καθόλου ἡμέρας ὀλέθριος γίνεται.

Ἐν δὲ τῷ ϛʹ <Ἥλιος> πατέρα κακοθάνατον ἢ κατάδικον ποιεῖ καὶ σινοῖ καὶ τὰ ὑπάρχοντα φθείρει, ἐάνπερ μηδεὶς ἀστὴρ ᾖ ἐπὶ τοῦ ιʹ, εἰ δ' εὑρεθῇ τις ἐν τῷ δεκάτῳ, ἀπὸ γονέων εὐδαίμονας ποιοῦσιν.

Ἀφροδίτη ἡμέρας καὶ νυκτὸς ἀγενεστέραις ἢ χήραις ἢ σεσινωμέναις μίγνυσι καὶ οὐκ εὐνοουμένους ὑπὸ γυναικῶν ποιεῖ, ἐάνπερ μηδεὶς ᾖ ἐν τῷ ιʹ. ἐὰν δὲ ᾖ γυναικὸς τὸ θεμάτιον, δυστοκίαι ἢ ἐμβρυοτομίαι ἔσονται. ἐὰν δέ τις ἐπὶ τοῦ ιʹ ἀστὴρ ᾖ, μάλιστα νυκτὸς καὶ τῆς αἱρέσεως, ἐπαφροδίτους καὶ ἐπιχαρίτους ἀποτελεῖ καὶ εὐτυχεῖς διὰ γυναικῶν καὶ εὐεπιτεύκτους· ἀχρόνους δὲ καὶ ἐκβολίμους ποιεῖ προσκλίνασα τοῖς κέντροις τῶν κακοποιῶν τὰ κέντρα ἐχόντων καὶ Σελήνην διακρατούντων.

Ἑρμῆς δὲ ἐν τῷ ϛʹ ἡμέρας ἀπὸ λόγου ἢ ῥητορείας ἢ ἐμπορίας ἢ παρὰ θεῶν τινὰς προσόδους καὶ τύχας ἔχοντας, μάλιστα δ' εἴπερ ἐν τῷ ιʹ τύχῃ τις ἀστήρ· νυκτὸς δὲ ἐπὶ τοῦ ϛʹ Ἑρμῆς ἑῷος τυχὼν ἑρμηνέας, ἁλιεῖς, ἰξευτάς, γλυφεῖς ποιεῖ, ἐάνπερ τις ᾖ ἐπὶ τοῦ ιʹ ἀστήρ· εἰ δὲ μηδείς, κακόφρονας ποιεῖ, ἀργούς, δυσεπιβόλους, τυφώδεις· ἑσπέριος δὲ συνετούς, νοήμονας, κριτικούς, ἐπὶ λογιστηρίων ἢ τραπεζῶν ἢ ἀποθηκῶν ἢ γραμμάτων ἢ ἐμποριῶν τασσομένους, ἀφ' ὧν καὶ εὐδαιμονοῦσιν. ἐὰν δὲ καὶ τὴν συναφὴν τῆς Σελήνης ἐπισχῇ, πόλεως γραμματεῖς ἢ καθηγητὰς βασιλέων ἢ διοικητὰς ποιεῖ, μάλιστα ἐάν τις ᾖ ἀστὴρ ἐν τῷ ιʹ.

<Σελήνη δὲ ἐν τῷ ϛʹ> ***.

1 ἢ om. V. 2 μέρου P. δὲ om. AV. 4-5 Plura habet Firmicus, III, 3, 22; cf. supra p. 130, 1 ss. 4 καὶ om. AV. 6-8 Cum Firmico, III, 4, 34 conspirant; cf. p. 130, 5 ss. 7 συνεχομένης P. 8 ὢν om. AV. καθολ' AV : καθ' ὅλης sic P. 9 Post ϛʹ signum Solis deest. Cf. Firmic. Mat., III, 5, 19 (p. 133, 27 ss.). 10 ἐπὶ] Leg. ἐν? sed cf. vv. 15, 22. 11 δεκάτῳ P : ιʹ AV. 12-18 cf. Firmic. Mat., III, 6, 12. 14 δὲ om. P. 15 Ante νυκτὸς] signum erasum P. 16-17 ἐπιτεύκτους P. 17 ἐμβολίμους V. 19-28 cf. Firmic. Mat., III, 7, 11-13, 19 δὲ om. P. καὶ ἐμπορίας ἢ ῥητορείας V. 20 παρὰ θεῶν corr. : κατὰ θεὸν (θεῶν e corr, P) codd. : « ex deorum reditibus faciet fortunam » Firmicus. πρώσωδον sic P. 21 ἑρμηνείας A : « interpretes » Firmicus. 22 ἐάνπερ τις A : εἴπερ τις V : ἢ πεμπτῆς sic P. τοῦ P : τῷ AV. 23 δυσεπιβωλικὸς P : δυσβούλους legit Firm. 28 ιʹ cum signo finis capituli A : ιβʹ P. 29 De Luna in sexto loco nil traditur. Quae praebebat Firmicus, nunc desunt folio avulso, sed quae in Rhetorio desiderantur non ad sextum sed ad duodecimum locum pertinuisse videntur, sicut ea quae de Saturno, Iove, Marte supra dicuntur, cf. p. 131, 15.

Digitized by Microsoft®

Τόπος ἕβδομος.

Ὁ ἕβδομος τόπος καλεῖται κέντρον δυτικόν, σημαίνει δὲ τὸ γῆρας καὶ τὸν γάμον, ἔσθ' ὅτε δὲ καὶ τὸν περὶ κληρονομίας λόγον καὶ περὶ σίνους. μάλιστα δὲ σημαίνει τὸν περὶ τῶν δακτύλων λόγον ἢ τῆς κύστεως ἢ τῶν ποδῶν. ποιεῖ δὲ καὶ ξενιτείας.

Ὁ οὖν Ζεὺς παρὼν ἐκεῖ καλὸν τὸ γῆρας καὶ ἄμοχθον ποιεῖ καὶ εὑρήματα ἢ κληρονομίας ἐπὶ ξένης καὶ πράξεις, τὴν δὲ νεότητα μοχθηροτέραν, δυσγάμους δὲ μάλιστα ἐν τροπικῷ ζῳδίῳ καὶ δυστέκνους ἢ ἀτέκνους. εἰ δὲ Ἀφροδίτη ἐκεῖ τύχῃ, ἐπίχαριν καὶ ἐν τῷ γήρᾳ νεωτερίζοντα καὶ εὔγηρων καὶ πολύκοινον καὶ ἄστατον περὶ γάμου ποιεῖ. εἰ δὲ Ἀφροδίτη δυτικὴ ἐκεῖ, δίχα τῆς τῶν κακοποιῶν θεωρίας, σώφρονας· καὶ ταπεινουμένη δὲ τὸ αὐτὸ ποιεῖ, τὴν δὲ νεότητα ἄστατον, καὶ δούλαις ἢ πόρναις μίγνυσι. Ἑρμῆς δὲ ἐν τῷ Ζʹ πλουσίους, πεπαιδευμένους, φρονίμους, τὰς δὲ τούτων γυναῖκας περιέργους ἢ θηριοψύχους ἢ φιλοφαρμάκους. ὁ δὲ Κρόνος ἐκεῖ οὐ μόνον κακογάμους ἢ χήρας, ἀλλὰ καὶ πάθη ποιεῖ περὶ τοὺς δακτύλους ἢ αἱμορροίας ἢ ῥεύματα περὶ τοὺς πόδας. πάντως δὲ σινοῖ τὸ σῶμα καὶ κακοτεκνίαν ποιεῖ μάλιστα παρ' αἵρεσιν· εἰ δὲ κατὰ αἵρεσιν ἐν ἰδίῳ οἴκῳ ἢ ὑψώματι, πολυχρονίους ποιεῖ καὶ περὶ τὸ γῆρας πλουσίους, τὴν δὲ νεότητα προλυπεῖ. Ἄρης δὲ ἐκεῖ ὢν δυσγαμίας <ποιεῖ> καὶ μοιχαλίδι ζεύγνυσι. σινοῖ δὲ τοὺς ὀφθαλμοὺς ἢ τοὺς δακτύλους ἢ τοὺς πόδας καὶ τρομώδεις ποιεῖ. πάντως δὲ τὰ γονικὰ διαφθείρει, μάλιστα δὲ παρ' αἵρεσιν καὶ ἀλλοτρίοις οἴκοις, καὶ τὸ γῆρας κακοῖ· εἰ δὲ κατὰ αἵρεσιν ἐν ἰδίῳ οἴκῳ ἢ ὑψώματι, τὸ κακὸν μέτριον γίνεται. Σελήνη δὲ ἐκεῖ φιλόξενον, ἐν δὲ θηλυκῷ ζῳδίῳ ὑπὸ Ἡλίου καὶ Ἀφροδίτης θεωρουμένη κατὰ συμπαρουσίαν ἢ διάμετρον, πάντως μαλακοὺς καὶ πρὸς δύο ἀδελφὰς μίξεις. εἰ δὲ γυναικὸς εἴη τὸ θεμάτιον, Σελήνη ἐν ἀρσενικῷ ζῳδίῳ Ἡλίου καὶ

1 **P**, f. 105ʳ; **A**, f 12ʳ; **V**, f. 34ᵛ. τόπος ἕβδομος V : rasura ante τόπος A : τόπος Ζʹ (alia manu) P. 2 ὁ Ζʹ AV : εὔδομος P. 4 τῶν περὶ δακτύλων P. λόγον corr., cf. p. 148, 26 : τόπον AV : τόπων P. 6-7 εὑρέματα A. 7 ξένοις P. 9 ἐπίχαριν V : ἐπιχάρεις P : ἐπίχαρις A. γῆρα (sic) A : γήρει P : βίῳ V. νεωτερίζων A. Cf. Paul. Alex., M, 3 : νεωτερίζοντας ποιήσει. 10 πολύκινον P. γάμους V. ποιεῖ om. P. 11 ἐκεῖ PA : τύχῃ V. 14 θηραψύχους AV : χειριὸ ψύχους sic P : corr.; cf. Paul. Alex., *l. c.*: φρονίμους πλὴν πάθεσι ψυχικοῖς περιτρεπομένους. 15 φιλομάρκους AV. 16-17 cf. Vett. Val., p. 65, 12. 16 Post ῥευμ.] περὶ AV : παρὰ P. 17 σινῆ P. κακοτεκνία P; cf. p. 159, v. 2. 18 εἰ δὲ κατὰ αἵρεσιν om. V. 18-19 cf. Paul. Alex,. M, 2, v. 18 ss. 19 πρὸς λυπῆ sic. P. 20 ποιεῖ suppl. μηχαλήδη P. σίνη P. 22 δὲ καὶ τὰ AV. παρ' αἱρ. καὶ ἀλλοτρ. om. AV. 23 κακοὶ sic AP : κακὸν V. οἴκῳ V : τόπῳ AP. 24 θηλυκοῖς P. 25 ζῳδίοις AV. Ante Ἀφροδίτη] Ἑρμῆς signis astr. P. συμπαρουσία P. 26 ἢ διάμετρον A : κατὰ διάμετρον P : om. V. 26 μίξει P : μίξιν AV; corr., cf. infra 159, 10. 27 ἐν om. P.

Digitized by Microsoft®

Ἀφροδίτης ὁρώντων ἐξ ἀρσενικῶν ζῳδίων, πάντως τριβάδας ποιεῖ. Ἥλιος δὲ ἐκεῖ κακογαμίαν καὶ δυστεκνίαν καὶ εὐπορίαν καὶ πλοῦτον.

Ὁ κύριος τοῦ ζ′ ἐν τῷ ιβ′ ἢ ὁ τοῦ ιβ′ ἐν τῷ ζ′ δυσγαμίαν ἢ δουλογαμίαν ποιεῖ. ὁ κύριος τοῦ ζ′ θεωρούμενος ὑπὸ τοῦ κυρίου τοῦ η′ χήρους ποιεῖ ἢ διαζευγνυμένους, ἀλλ' ἐν μὲν στερεῷ ἅπαξ, ἐν δὲ δισώμῳ δίς, ἐν δὲ τροπικῷ πολλάκις. ὁ κύριος τοῦ ζ′ μεσουρανῶν, ὁ δὲ κύριος τοῦ ιβ′ ἐν τῷ δ′ ἢ δουλογάμους ἢ ἀγοραστὰς τῶν ἰδίων γυναικῶν. ὁ κύριος τοῦ ζ′ ἐν τῷ θ′ ξένην ἢ θεοσεβῆ γυναῖκα δίδωσιν. ὁ κύριος τοῦ ζ′ ὕπαυγος ὢν ἢ ἐν τῷ δ′ ἢ ὑπὸ κακοποιῶν βαλλόμενος πρὸς πόρνας ἢ δούλας τὰς μίξεις ποιεῖ.

Ὁ Ἀναβιβάζων ἐν τῷ ζ′ μετὰ Κρόνου Ἀφροδίτης Ἑρμοῦ τὴν γυναῖκα τούτου δίγαμον ποιεῖ. εἰ δὲ Ἀφροδίτη καὶ Ἄρης ἐκεῖ τύχωσι ἢ ἐπιθεωρήσουσι, γραῦν γαμήσει πλουσίαν ἢ σεσινωμένην τὴν ὅρασιν. Ζεὺς Ἀφροδίτη Ἑρμῆς ἐκεῖ· εὐγενίδα γαμήσει καὶ ἀπὸ γυναικείας φιλίας εὐτυχήσει, γυναῖκα δὲ θάψει. Καταβιβάζων ἐκεῖ γυναῖκα προαναιρεῖ ἢ σινοῖ. Κρόνος Ἄρης ἐκεῖ ὄντες ἢ ὁρῶντες γυναῖκα δώσουσι πρακτικὴν ἢ εὐτελῆ ἢ χήραν. Ἀφροδίτη δὲ ἐκεῖ οὖσα ἢ ὁρῶσα νέαν γυναῖκα δίδωσι. Ζεὺς δὲ ἅμα αὐτῇ ἐκεῖ ὢν ἢ ἐπιθεωρῶν· εἰς γυναῖκας ἀκαταστατήσει. Ἥλιος Ἑρμῆς ἐκεῖ ὄντες ἢ ἐπιθεωροῦντες· ξένην γαμήσει γυναῖκα <ἢ> γλαυκήν.

Κρόνος ἡμέρας ἐκεῖ ὀψιτύχους, μακρογήρως, θησαυροφύλακας ποιεῖ. ἀλλ' ἢ ἕδρας ἢ κρυπτῶν τόπων σίνη ἕξουσι. νυκτὸς δὲ χείρων· ποιεῖ γὰρ ἐπινόσους, ῥευματιζομένους, πυρωτικοῖς πάθεσιν ἐνεχομένους.

Ζεὺς ἐκεῖ ἡμέρας μακροβίους, σπανοτέκνους ποιεῖ· πλουσίους περὶ τὰ ἔσχατα. νυκτὸς δὲ μετρίους τῷ βίῳ καὶ περὶ τὴν μέσην ἡλικίαν εὐτυχοῦντας.

Ἄρης ἡμέρας ἐκεῖ ἐπιμόχθους ποιεῖ, ἀνοσίους, βιαίους, φονεῖς, βασανιστάς, προδότας· τινὰς δὲ καὶ ὀλιγοχρονίους, μάλιστα ἐὰν τὴν Σελήνην κεκεντρωμένην βλέψῃ. καθόλου δὲ ὁ Ἄρης ἡμέρας ἢ νυκτὸς ἐκεῖ βιοθανάτους ποιεῖ· μάλιστα δὲ ἐν ἀλλοτρίοις τόποις <σινοῖ· γίνονται γὰρ> ἐν πόνοις καὶ τομαῖς ἢ πτώσεσι. νυκτὸς <δὲ> λύπας καὶ

1 ποιεῖ corr. : ποιοῦ A : ποιοῦσι PV. 2 εὐπορίας V. καὶ πλοῦτον AV : πλού-τ(ου) P. 6 δὲ AV : τῷ P. 8 θ′] ἐνάτ(ῳ) P. 13 γραίαν P. πλουσίαν ἢ om. V. 14 εὐγενίδαν P. 18 αὐτῆς P : αὐτοῖς AV. Fort. aliquid deest. 19 ἀκαταστατοῖς sic P. 20 ἢ suppl. 21-23 cf. Firmic. Mat., III, 2, 14; Paul. Alex., M. 2, v. 17 ss. 21 Pro signo diei signum Solis PV. ὀξυτύχους P. μακρογήρους AV. 22 ἀλλ' ἢ om. V. Pro signo noctis] ὁ P. χειρῶν P. 23 πορρωτ(ι)κ(οῖς) P. Leg. ὑδρωπικοῖς? 24-26 cf. Firmic. Mat., III, 3, 15; Paul. Alex., M, 3, v. 1 ss. 24 σπανοτόκους P; sed σπανοτέκνους habet Paulus. περὶ AV : παρὰ P; cf. v. 25; p. 160, 23. 25 ἡλικίαν e corr. P. 27-p. 160, 5 cf. Firmic. Mat., III, 4, 17-20 (usque ad p. 120, 12). 27 φωνῆς P. 29 ἡ Σελήνη κεκεντρωμένη P. κεκρυπτομένην V. 30-31 σινοῖ· γίνονται γὰρ suppl.; cf. Firmic., p. 119, 24. 31 ἐμπόν(ους) δὲ P. πτύσεσι A. νυκτὸς om. P. δὲ suppl.

Digitized by Microsoft®

ταραχὰς ποιεῖ ἐν πᾶσιν οἷα διαπράττεται· ἔτι δὲ καύσεις ἢ τομὰς σιδήρου ἢ κρυπτῶν πόνους ποιεῖ κατὰ τὸν ἐπιβάλλοντα αὐτῷ χρόνον. καὶ πράξεις δὲ παρέχει τὰς ἀπὸ σιδήρου ἢ πυρὸς ἢ στρατείας ἢ βίας τινὸς τῆς ἐπὶ βασάνοις ἢ ἐνοχαῖς ἢ καὶ ἀναιρέσεσι ἀνθρώπων γινομένης.

Ἥλιος δὲ ἐν τῷ ζʹ πάθους καὶ σινῶν αἴτιος γίνεται κατὰ τὴν τοῦ συμπαρόντος ἢ μαρτυροῦντος ἀστέρος φύσιν.

Ἀφροδίτη δὲ ἐκεῖ ἡμέρας ἢ νυκτὸς ἐπὶ τῆς προβάσεως τῶν ἐτῶν, νεωτερίζοντας ποιεῖ καὶ βραδυγάμους καὶ εὐδιαβλήτους. ἐν μὲν τοῖς τροπικοῖς ἢ ἰχθυϊκοῖς ἢ λατρώδεσι ζῳδίοις, κακουμένη μάλιστα ὑπὸ Ἄρεως, ἀσελγεῖς ποιεῖ καὶ ἐμπαθεῖς. ἐπὶ δὲ γυναικός, ἐὰν ὑπὸ Κρόνου κακωθῇ, αἰσχρὰς ποιεῖ καὶ πόρνας, μάλιστα δὲ περὶ τὸν Αἰγόκερων.

Ἡμέρας δὲ ὁ Ἑρμῆς ἐκεῖ οὐκ ἀγαθὸς Ἀφροδίτης αὐτὸν μεσαζούσης. πάθεσι γὰρ κατακρίνει τοὺς γεννωμένους οὐκ ἀγνώστοις, οἷον ἀσελγεῖς, πορνοβόσκους καὶ τὰ τοιαῦτα· ἐναντιωθέντος δὲ Ἄρεως ἢ καθυπερτερήσαντος ὀλιγοχρονίους, φθισικούς, φυγάδας, καταδίκους ποιεῖ. νυκτὸς δὲ Ἑρμῆς ἐκεῖ γυναικῶν πλουσίων προϊσταμένους καὶ ἐξ ἀφροδισίων εὐτυχοῦντας καὶ ἀριθμῶν ἢ μουσικῆς ἢ γραμμάτων σκολιῶν εὑρετάς.

Σελήνη ἡμέρας ἐκεῖ ξενιτείας καὶ κινδύνους ἢ ἀπὸ ὑγρῶν τόπων ἢ λῃστῶν ἢ ὑπὸ δούλων κακουμένους ἢ νοσηματώδεις, μάλιστα εἰ καὶ κακοποιῷ συνάπτει. τότε γὰρ ἀπαραίτητα τὰ κακὰ γίνεται. Σελήνη νυκτὸς τόπων μεταβολάς καὶ ξενιτείας ποιεῖ καὶ αὐξοβίους περὶ τὴν τοῦ χρόνου πρόβασιν.

1 οἷα A : οἷς V : ἢ P. διαπράττονται AV : « dolores <et> aestus faciet ex omnibus actibus » Firm. καύση P. 2 κρυπτὸν P. αὐτῷ A : αὐτοῖς P : om. V. 3 δὲ om. P. παρέχει τὰς scripsi : παρέχων τὰς V : παρέχοντας A : παρέχωντ' P. ἢ (ante πυρὸς) P : καὶ AV. 4 ἀναιρέσει A : ἀναιρέσεις V : ἀναίρεσι P. 4-5 γινομένη P. 6-7 Multo plura habet Firmicus, III, 5, 20. 6 τὴν om. P. 8-12 cf. Firm., III, 6, 14-15; Paul. Alex., M, 3, v 4. 8 βάσεως P. 9 νεωτερίζοντας ex Paulo corr.; cf. supra p. 158, 9 : νεωτέρους ζῶντας A : νεωτέρων ζῶντας V : νεοτέροις (vel -ρους) ζῶντας P. ἐνδιαβλήτους V. 10 ἰχθυκοῖς P : ἰχνικοῖς AV : « squamosis » Firm. λαμπρώδεσι A. Cf. *Catal.*, 1, p. 166, 24. κρατουμένη P. 12 αἰσχρὰς i. e. αἰσχροποιούς, cf. infra cap. ξϛʹ : « mulieres inpure et inpudice cum mulieribus coibunt » Firm. 13-19 cf. Firm. Mat., III, 7, 14-15. 13 αὐτῶν P, μεσαζούσης vix sanum. 14 γινομένους AP. ἀγνώστοις AV : ἀγνῶσθεις sic P. An οὐκ ἀγωνιστοῖς? Sed multa hic desunt, cf. Firm., p. 160, 23. 15 ἐναντιωθέντα AV. δὲ om. P. 15-16 καθυπερτερήσαντα AV. 17 Ἑρμῆς om. AV. προϊσταμένους] « procuratores » Firm. 18 πραγμάτων V; sed cf. Firmic. « notarum aut difficilium litterarum » et Lexx. s. v. σκολιογραφέω. 20 ss. Deest in Firmico (p. 189, 8). 20 Pro signo diei signum Solis AV. 21 κακομένους P. 22 γίνονται A. 23 τόπῳ A. περὶ AV : παρὰ P. 24 πρόσβασιν A.

Digitized by Microsoft®

Τόπος ὄγδοος.

Ὁ ὄγδοος τόπος καλεῖται ἀργὸς καὶ ἐπικαταφορὰ τοῦ ὡροσκόπου καὶ ἐπικατάδυσις καὶ ἀμαύρωσις. ἔστι δὲ τὸ ζῴδιον ἀποστρόφον τοῦ ὡροσκόπου· διὰ τοῦτο καὶ τὸν περὶ θανάτου λόγον σημαίνει τὸν ἀπόστροφον τῆς ζωῆς.

Ἐὰν οὖν ἐκεῖ τύχῃ καὶ ὁ κλῆρος τῆς τύχης καὶ ὁ κύριος αὐτοῦ καὶ ὁ κύριος τοῦ ὡροσκόπου, δυσπραγίας καὶ ἀνωμαλίας ποιεῖ. ἐὰν δὲ καὶ κακοποιοὶ ὦσιν οὗτοι, χεῖρον τὸ κακόν· ἀτυχεῖς γὰρ ποιεῖ. εἰ δὲ καὶ ὕπαυγοι, ὀλιγοχρονίους. Ἑρμῆς κύριος ὢν τοῦ δαίμονος, ἐπιπαρὼν τῷ η' ἀνοήτους καὶ ἀγραμμάτους καὶ νωχελεῖς. Ἑρμῆς κύριος ὢν τοῦ η' ἢ τοῦ ιβ' ἢ τοῦ ϛ' παρὼν τῷ η' ὕπαυγος μετὰ Κρόνου καὶ Ἄρεως κωφοὺς καὶ ἀλάλους. Σελήνη νυκτὸς ἐκεῖ τοῖς ἀριθμοῖς καὶ τῷ φωτὶ προστιθεῖσα, μάλιστα Διὸς <ὄντος> ἐν τῷ ια', ἀπὸ νεκρικῶν πραγμάτων καὶ κληρονομιῶν ὠφελήσει. ὁ δεσπότης τοῦ δ' ἐν τῷ η' ἐπὶ ξένης ἀναιρεῖ. τὰ δ' αὐτὰ ποιεῖ καὶ ὁ κύριος τοῦ η' ἀποκλίνας. Ἀφροδίτη ἐν τῷ η' κακοβίους καὶ αἰσχροὺς ποιεῖ. ὁ κύριος τοῦ η' ἐν τῷ ι' ἢ ια' ἢ ε' ἀπὸ νεκρικῶν πραγμάτων πλουτίζει, μάλιστα οἴκῳ ἢ ὑψώματι ἰδίῳ καὶ ἔξαυγος καὶ προσθετικὸς τοῖς ἀριθμοῖς. εἰ δὲ ὕπαυγος, ποιεῖ μὲν τὴν κληρονομίαν, ἀλλ' εὐθέως σκορπίζει. ὁ κύριος τοῦ γ' ἐν τῷ η' ἀδελφοὺς προαναιρεῖ. ὁ κύριος τοῦ ε' ἐκεῖ ὢν ἀτεκνίαν ποιεῖ· ὁ κύριος τοῦ ιβ' ἢ τοῦ ϛ' ἐκεῖ ὢν ἐχθρῶν καὶ δούλων θανάτους.

Ὁ Ἄρης ἐκεῖ σινοῖ τὴν ὄψιν, μάλιστα εἰ ὁ Ἥλιος ὡροσκοπεῖ ἢ ἡ Σελήνη. Κρόνος Ἄρης ἐκεῖ ἄνευ Διὸς Ἀφροδίτης ἐκπτώτους ποιοῦσι. Ζεὺς ἐκεῖ ἐν ἰδίῳ οἴκῳ ἢ ὑψώματι προσθετικὸς τοῖς ἀριθμοῖς ἀπὸ νεκρικῶν πραγμάτων ὠφελεῖ καὶ μάλιστα ἐκτὸς Κρόνου καὶ Ἄρεως. Ἑρμῆς καὶ Ἄρης ἐκεῖ πλαστογράφους.

1 **P**, f. 107; **A**, f. 13ᵛ; **V**, f. 35ᵛ. Τόπος ὄγδοος V : τόπος η' P : rasura ante τόπος A. 2 ὁ om. P. ὄγδος] sic P : η' m. 2 in rasura A. ἀργὸς (γὸς in ras.) A. 3-4 ἐπικατάδυσις — ὡροσκόπου om. V. 3 ἀμαυρώσεις A. τὸ om. A. 6 καὶ (ante ὁ κλῆρος) om. AV. τῆς om. V. καὶ ὁ κύριος αὐτοῦ om. V 7 ἐὰν V : εἰ AP. 9 ss cf. Vett, Val., II, 8, p. 64, 12 ss. 9 κυρ(ίου) ὄντος AV. 10 η' m. 2 in ras. A. 10-11 ἀνοήτους — παρὼν τῷ η' om. AV. 11-12 cf. Vett. Val., p. 64, 17-18. 12-13 cf. Paul. Alex., M, 4, v. 8-12; Firm. Mat., II, 19, 9 (p. 63, 24 ss.); Vett. Val., p. 64, 17. 12 ἐκεῖ om. V. 13 προστιθεῖσα V et Paulus : προστεθοικοὶ (= προσθετική) P : προστίθεται A. 14 ὀφέληται P. δ' evanidum P. η' AP : κ' V. ξένοις P. 15 αὐτὰ δὲ AV. η' A : κ' V : dubium in P. 16 ι A : ιω V : δ' P. 17-19 ἀπὸ νεκρικῶν — ἐν τῷ η' om. P. 18 προσθετικὴ A : προσθετικ' ut vid. V. καὶ τοῖς V. Fuitne <τῷ φωτὶ> καὶ τ. ἀ.? cf. v. 12. 20 ἀτεκνίας V. 22 ἢ ἡ V : ἢ AP. 23 ποιεῖ P. 24-25 cf. Paul. Alex , M, 4, v. 4 ss. 24 προσθετικὸς scripsi : προσθεταὶ A : προθέτει P : πρ cum ligatura V. 25 ὀφεληθὴ sic P. ἐκτὸς AP : ἐκ τοῦ V. Ἄρεως AV : Διὸς P (sign. astr.).

Digitized by Microsoft®

Κρόνος[1] δεσπότης τοῦ η' ὁρῶν αὐτὸν ἐξ ὕδατος ἀναιρεῖ ἢ ἐπὶ ξένης μάλιστα ἐν ὑγρῷ ζῳδίῳ ἢ ἀλλοτρίῳ κεκακωμένος· εἰ δὲ ἐν χερσαίῳ ὁ Κρόνος, ἐν ὄρεσιν ἀναιρεῖ. ἁπλῶς δὲ ἑκάστου ζῳδίου τοῦ η' ζήτει τὸν οἰκοδεσπότην ἐν ποίῳ ἐστὶ ζῳδίῳ· τοιοῦτος γὰρ γίνεται καὶ ὁ θάνατος. Ἥλιος δεσπότης τοῦ η' ἐν ἀλλοτρίῳ ζῳδίῳ κεκακώμενος, ἐὰν καὶ αὐτὸς ὁ η' κακωθῇ τόπος, ἀπὸ ὕψους ἀναιρεῖ πρὸς τὴν φύσιν τοῦ ζῳδίου. Ἄρης κύριος τοῦ η' κακωθέντος τοῦ τόπου βιοθανάτους ποιεῖ, ἔσθ' ὅτε δὲ καὶ κυνηγούς. μαρτυρούμενος δὲ ὑπὸ Ἡλίου ὁ Ἄρης ἀπὸ βασιλέων ἢ ὄχλων τὴν βιοθανασίαν ποιεῖ. Ἀφροδίτη δεσπότης τοῦ η' κεκακωμένη καὶ τοῦ η' κακωθέντος ἀπὸ οἴνου πολλοῦ ἢ φαρμακείας γυναικῶν τὴν βιοθανασίαν ποιεῖ. Ἑρμῆς δὲ οἰκοδεσπότης τοῦ η' κεκακωμένος καὶ αὐτὸς καὶ ὁ η' ἀπὸ δούλων ἢ διὰ γραμμάτων τὸν θάνατον ποιεῖ. Ζεὺς οἰκοδεσπότης τοῦ η' κεκακωμένος σὺν τῷ τόπῳ ἀπὸ βασιλέων ἢ μεγιστάνων ποιεῖ τὸν θάνατον, καὶ εἰ μὲν <ἐν> ἰδίοις οἴκοις ἢ τριγώνῳ ἢ ὑψώματι ἐν τῇ ἰδίᾳ χώρᾳ, εἰ δὲ ἐν ἀλλοτρίοις, ἐπὶ ξένης. εἰ δὲ ὁ Ἀναβιβάζων τύχῃ ἐν τῷ η' μετὰ Ἡλίου Ἄρεως Ἑρμοῦ Κρόνου ἢ ἐπιθεωροῦσι τὸν τόπον, κακοθανασίαν ποιεῖ ἢ ὀλιγοχρονιότητα. εἰ δὲ Ζεὺς καὶ Ἀφροδίτη ἐν τῷ η' μόνοι, εὐθανασίαν καὶ εὐτυχίαν μεγάλην. εἰ δὲ ὁ Καταβιβάζων τύχῃ ἐν τῷ η' καὶ Ζεύς, Κρόνος, Ἀφροδίτη καὶ Ἄρης ἐκεῖ, βιαιοθανάτους ποιοῦσι.

Ὁ δὲ Κρόνος ἡμέρας ἐκεῖ προβαινόντων τῶν χρόνων κτωμένους ἀποτελεῖ, ὥστε καὶ ἑτέροις ἐπαρκεῖν· τινὰς δὲ ἐκ θανάτου κτωμένους. νυκτὸς δὲ ἐκεῖ ὢν ἐκπτώτους, φθινώδεις, κακοθανάτους ποιεῖ.

Ζεὺς δὲ ἡμέρας καὶ νυκτὸς ἐκεῖ προβαινόντων τῶν χρόνων περίκτησιν ἀποτελεῖ καὶ κληρονομίαν.

1 cf. Paul. Alex., M, 4, v. 24. ξένοις cod. 1-3 ἢ ἐπὶ ξένης — ἀναιρεῖ om. AV: 2 κεκακωμένος scripsi : καὶ κακομένους cod. 4 ζῳδίῳ ἐστὶ V. τοιοῦτος γὰρ V : καὶ τοιοῦτος P : τοιοῦτος A. καὶ om. AP. 5-7 ἐν ἀλλοτρίῳ ζῳδίῳ — κύριος τοῦ η' om. P. 5 κακώμενος A : κεκακομένος V. 7 βιοθανάτους AP : βιογράφους V. 7-9 ἐσθ' ὅτε καὶ — βιοθανασίαν ποιεῖ om. V. 9 ὄχλου A. κεκακωμένους A. 11-12 Ἑρμῆς οἰκοδεσπότης — θάνατον ποιεῖ ante Ἀφροδίτη — ποιεῖ transp. AV. 11 δὲ om. AV. η' τόπος V. 14 ἐν suppl. τριγόνις sic P. 15 ὑψώμασι codd. : corr. 16-19 τύχῃ ἐν τῷ — Καταβιβάζων om. V. 16 Leg. ἐπιθεωρῶσιν? scil. quatuor planetae. 17 κακοθανασίας ποιήσει P. 18 μόνη P. ἀθανασίαν AV : ἀθθανασίαν P : corr. ex Critodemo; cf. supra p. 149, 20. δὲ om. P. 20 βιαιωθάνατ' P : βιαιοθάνατα A. 21-23 cf. Firmic. Mat., III, 2, 16-17. 22 ἑτέρων V. 24-25 Diversa praebet Firmic., III, 3, 16.

[1] Quae sequuntur usque ad v. 20 fere iisdem sed interdum pluribus verbis infra in cap. οζ', Καθολικὰ βιαιοθανάτων σχήματα, repetuntur, ubi fons proditur Critodemus, p. 199, 15; cf. supra p. 117.

Digitized by Microsoft®

Ἄρης δὲ ἐν τῷ η' ἡμέρας ἐνδείας καὶ ταραχὰς καὶ κινδύνους ποιεῖ. Ἥλιος ἐν τῷ η' πατρὸς προτελευτὴν ποιεῖ, τινὰς δὲ καὶ φρενητικούς. οἱ δὲ συμπαρόντες αὐτῷ ἀστέρες ἢ μαρτυροῦντες δηλοῦσι τὸ ποιόν. Σελήνην δὲ διαμετρῶν ὁ Ἥλιος τοῦ συνδέσμου μὴ λυθέντος σινοῖ τὸν τεχθέντα.

Ἀφροδίτη ἡμέρας ἐπὶ τοῦ η' βραδυγάμους, καὶ ἀγενεστέραις ἢ χήραις ἢ παισὶ μίγνυσι, καὶ γονορροϊκοὺς ἢ σπαστικοὺς ἢ ἀποπληκτικοὺς γενομένους ἀναιρεῖ. νυκτὸς δὲ εὐκτήμονας καὶ πλουσίους ἀποτελεῖ καὶ ἐκ γυναικῶν θανάτου εὐτυχοῦντας· καὶ τοὺς θανάτους ὀξεῖς καὶ ἀβαρεῖς καὶ ἀπόνους ποιεῖ.

Ἑρμῆς ἐν τῷ η' ἡμέρας ἑσπέριος δυσεπιτεύκτους, ἀπράκτους, νωχελεῖς, ἐπιμόχθους. νυκτὸς δὲ ἑσπέριος κληρονόμους ἀλλοτρίων, ἀξίους εὑρεμάτων, εὐτυχεῖς, παθητικοὺς δὲ καὶ εὐκόλως νοσοῦντας. ἑῷος δὲ ἐν τῷ η' αὐξητὰς χρημάτων καὶ πράξεων μεγάλων ἀντεχομένους ποιεῖ, τινὰς δὲ καὶ φροντίδων ἢ πίστεων ἢ οἰκονομιῶν ἢ γραμματείων μεθέξοντας ἢ καὶ ἀλλοτρίων κληρονόμους.

Τόπος ἔννατος.

Ὁ ἔννατος τόπος καλεῖται θεός· ἔστι δὲ ὁ τόπος Ἡλίου. σημαίνει δὲ τὰ περὶ θεῶν πάντα καὶ βασιλέων καὶ ξένων καὶ ὀνείρων καὶ θρησκείας. ἔστι δὲ τὸ ζῴδιον ἀστρονομικὸν καὶ μετακόσμιον[1]. ἐν τούτῳ τῷ τόπῳ οἱ ἀγαθοὶ ὄντες ἐπὶ ξένης τὰς εὐτυχίας ποιοῦσι καὶ περὶ τὴν θρησκείαν εὐσεβεῖς καὶ δικαίους, μάλιστα εἰ καὶ ὁ κύριος τοῦ τόπου καλῶς κεῖται καὶ ἐν ἰδίῳ οἴκῳ ἢ ὑψώματι καὶ ἀθεώρητος ὑπὸ κακοποιῶν. καὶ ὁ μὲν Ἑρμῆς ἐπιπαρὼν τῷ θ' οἴκῳ ἰδίῳ ἢ ὑψώματι ἢ ἑῷος ἀνατολικός, εἰ ἀθεώρητος ὑπὸ κακοποιῶν τύχῃ, ἐν χρηματισμῷ γίνονται οἱ τοιοῦτοι,

1 Multo plura servavit Firmic. III, 4, 22 ss. ἐνδείας A (cf. Firm., p 121, 2): ἐνοδείας V : ἐν βίας P. 2-5 cf. Firmic., III, 5, 29-30. 3 μαρτυροῦσι A. ποῖον AV. 4 σύνδ' μὴ λυθέντα A. μὴ om. V. σινὴ P. 6-10 cf. Firm., III, 6, 16. 7 παισὶ] αἰσχραῖς legit Firm. σπαθηκοὺς P. 8 ἀναιρεῖν P. ἀποτελῶν P. 9 ὀξὺς καὶ βαρὺς P. 11-16 cf. Firm., III, 7, 16-17. 11 ἡμέρας om. V. ἀπράκτους om. AV. 12 ἀξίους εὑρεμ.] cf. p. 151, 4. 13-14 εὐτυχεῖς — χρημάτων omis. P. 15 δὲ om. V. 16 κληρονομίαν P. γραμματειῶν codd.; corr.: « instrumentorum » Firm. Nil de Luna in VIII nec hic nec apud Firm. (p. 189, 9). 17 **P**, f. 108v; **A**, f. 14r; **V**, f. 36r; cf. Vett. Val., II, 7, p. 63, 15 ss., Kroll. 18 Ὁ rasura τόπος A. ἔνατος P : θ' V et in ras. m. 2 A. θεός in ras. m. 2 A. ὁ om. V. 19 θεῶν in ras. m. 2 A. 22 καλὸς P. 23 ἀθεώριστος P. 23-25 καὶ ὁ μὲν — κακοποιῶν om. V. 24 θ' in ras. m. 2 A. ἢ om. P. 25 τύχης V. χρηματισμοῖς Val. γίνεται V.

[1] Μετακόσμιοι dicuntur loci Lunae (p. 144, 17) et Solis, quia haec astra animas ex hoc mundo egredientes recipiunt. Ἀστρονομικός autem appellatur hic locus, quia cetera astra Sol regit secundum Chaldaeos (cf. p. 164, 3, ἀστρονόμους). — Vide etiam supra p. 154, n.

Digitized by Microsoft®

περὶ ὄχλων ἡγούμενοι διὰ τὴν ἐμπορίαν, τινὲς δὲ βασιλικοὶ γραμματεῖς γίνονται· ταῦτα δὲ ποιεῖ μετὰ τὴν πρώτην ἡλικίαν. ποιεῖ δὲ καὶ ἀστρονόμους. Ἥλιος ἐκεῖ καὶ Σελήνη· τοὺς γονεῖς θεοσεβεῖς λέγε ἢ ξένους, ἔσθ' ὅτε δὲ καὶ τὸ γεννηθὲν θεοσεβές. πάντως δὲ ξενιτεύει πολλά· ἐὰν Κρόνος καὶ Ἄρης ἐκεῖ ἑῷοι ἀνατολικοὶ ἢ στηρίζοντες καὶ ἐπιθεωρῶσι τὸν κλῆρον τῆς τύχης ὄντα ἐν τῷ ὡροσκόπῳ, ποιοῦσι μέγαν τύραννον, ἱερόσυλον, ἀσεβῆ καὶ οὐχ ἕξει ἀμύνην ὑπὸ θεοῦ διὰ τὸν τοῦ κακοῦ δαίμονος ἀστέρα ἢ καὶ τὸν τῆς κακῆς τύχης ἀστέρα Ἄρεα ἐν τῷ θεῷ ὄντα. ἐὰν δὲ μὴ ὡροσκοπῇ ὁ τῆς τύχης κλῆρος ἀλλὰ τύχῃ ἐν τῷ ϛ' ἢ ιβ', τοῦ Κρόνου καὶ Ἄρεως ἐν τῷ θ' ὄντων, δυστυχέστατος ἔσται καὶ πλανήτης καὶ δαιμονιόπληκτος.

Ὁ κύριος τοῦ η' ἐν τῷ θ' ἐπὶ ξένης ἀναιρεῖ. καλῶς δὲ κείμενος ὁ κύριος τοῦ θ' καὶ ἔξαυγος ἐν ἰδίῳ ζῳδίῳ ἢ ὑψώματι ἐπὶ ξένης τὰς εὐτυχίας δώσει. εἰ δὲ εἴη ἐν τῷ ϛ' ἢ β' ἢ γ' ἢ ιβ' ἢ η', πλανήτας ἐπὶ ξένης ἀποτελεῖ. Ἀφροδίτη δὲ ἐν τῷ θ' οὐκ ἀγαθὴ πρὸς γάμον ἐπὶ ἀνδρός, ἐπὶ δὲ γυναικὸς ὁ Ἄρης <ἢ> ὁ κύριος τοῦ ζ' ἐν τῷ θ' ξένην ἢ θεοσεβῆ γυναῖκα δίδωσι τῷ παιδί. Ἄρης ἐν τῷ θ' χωρὶς Διὸς καὶ Ἀφροδίτης βλασφήμους ἀποτελεῖ. Κρόνος ἐν τῷ θ' ἵστορα μυστηρίων ποιεῖ καὶ ὀνείρων ἀποκαλύψεις. Ἀφροδίτη δὲ ἐν τῷ θ' ἄστατον ποιεῖ τὸν γάμον. Ἀναβιβάζων ἐν τῷ θ' μετὰ Ἡλίου καὶ Κρόνου καὶ Ἄρεως δυστυχεῖς ἐπὶ ξένης ἢ διὰ ξένους ἢ αἰχμαλώτους ἢ πλανήτας ἢ κακοθανάτους. εἰ δὲ Ζεὺς καὶ Ἀφροδίτη ἐκεῖ ἄνευ Κρόνου καὶ Ἄρεως, ἐπὶ ξένης ἀνδρῶν μεγάλων φίλους καὶ εὐτυχεῖς. εἰ δὲ Ἥλιος καὶ Ἀφροδίτη καὶ Ἑρμῆς ἐκεῖ, θεοσεβεῖς, ἱερεῖς καὶ ἀναθήματα ναῷ θήσοντας, ἀπὸ ὑπαρχόντων θεοῦ ἢ βασιλέως ἢ μεγάλων ἀνδρῶν ** καὶ τιμηθήσονται ἐπὶ ξένης ἀπὸ ἱεροῦ τόπου καὶ ἐν ὁράματι χρηματισθήσονται· μάλιστα ἐὰν τύχῃ Σελήνη μετὰ Διὸς καὶ ἐπιθεωρήσωσιν τὸν Ἀναβιβάζοντα, ἐν ἀγαθοῖς τὸν βίον διαβιβάσουσι καὶ ἔσονται εὐτυχεῖς καὶ πολυχρόνιοι. ἐὰν ὁ Καταβιβάζων ἐν τῷ θ' μετὰ Κρόνου καὶ Ἄρεως ἢ ἐπιθεωρῶσιν αὐτόν, καλὸν τὸ σχῆμα. ἄρξουσι γὰρ ἐπὶ ξένης ἐνδόξως καὶ εὐτυχήσουσιν. εἰ δὲ Ἥλιος καὶ Ἑρμῆς ἐκεῖ, ἐπίδοξοι ἔσονται.

1 περὶ AV : παρὰ P. ἡγουμένων codd. : corr. Perperam Val., 63, 21 : τὴν αὐτῶν ἐμπειρίαν ὄχλοις ἐξηγοῦνται. 3 τοὺς om. P. λεγ' codd. = λέγουσιν? 5 καὶ om. V. 7 μέγα A et ut vid. P. ἀσεβεῖν P. ἀμύνην scripsi : μήνην P : μῆνιν AV. 8 τῶν .. ἀστέρ'ων) A. τοῦ ... ἀστέρ(ος) V. 10 τοῦ P : τὸ AV. καὶ om. P. ὄντος P. 13 ζῳδίῳ PA : οἴκῳ V. 14 εἰ δὲ εἴη P : ἐὰν δὲ ᾖ V : εἰ δὲ ᾖ A. η' PA : κ' V. 15 δὲ prius om. AV. 16 ἢ suppl. 19 δὲ om. AV. ἐνάτῳ P. 20 δυστυχεῖς A : δυστυχεῖ V : om. P. ξένοις P ac sic semper. 21 ἢ καὶ αἰχμ. V. ἢ (ante κακοθ.) A : καὶ P : om. V. δὲ καὶ V. 22 ξένοις P. ἀνδρὸς μεγάλου PA, sed cf. v. 25. 24 ναῶν AP. θύσοντας P. ἀπὸ V : ἐπὶ PA. θεῷ V verba quaedam desunt; cf. Paul. Alex., N, 1 : ἀπὸ θεῶν ἢ βασιλέων χάριτας ἢ δωρεάς. 27 καταβιβάζοντα (signo astr.) V. 28 ἐὰν οὖν ἀναβιβάζων (signo astr.) P. 29 τὸ om. PA. 30 καὶ εὐτ. ἐπὶ ξένης ἐνδ. V. ἐνδόξους AP : ἐν δόξ' V. ἐκεῖ om. V.

Digitized by Microsoft®

Ἐν τῷ θ' Κρόνος ἡμέρας μύστας ποιεῖ, ἀρχιμάγους, φιλοσόφους, τὸ μέλλον προλέγοντας, τινὰς δὲ καὶ ἐν ἱερατικαῖς ἀσχολίαις ἢ ἱερῶν προεστῶτας ποιεῖ· νυκτὸς δὲ ἐγκατόχους, ἀποφθεγγομένους, ὀνειροπόλους, φιλοσόφους, ἐνίους δὲ καὶ κόμας τρέφοντας.

Ζεὺς δὲ ἡμέρας ἐκεῖ τὸ μέλλον χρηματιζομένους τεραστίοις θεῶν, τινὰς δὲ καὶ ἱερωσύνης ἀξιουμένους ἢ δωρεὰς ἀναφαιρέτους ἔχοντας. νυκτὸς δὲ ἀβεβαίους τοῖς ὀνείρασι καὶ καταψευδομένους θεῶν καὶ ἐλπίσι χρησμῶν ἀναλαμβανομένους καὶ ἑαυτοὺς μακαρίζοντας.

Ἐν τῷ θ' ἡμέρας καὶ νυκτὸς ὁ Ἄρης ἀτιμωρήτους, σοφιστάς, παρὰ θεοῖς φοβερούς, κἂν ματαίως ὀμνύωσι σωζομένους. γίνονται δὲ οὗτοι καὶ φοβεροὶ δαίμοσιν.

Ἐν δὲ τῷ θ' Ἥλιος ἱεροτέκτονας, ἱερογλύφους καὶ θεῶν κοσμητὰς καὶ ὑμνητὰς ἢ ἱεροκτίστας, ὧν χάριν ἔνδοξοι γίνονται. τινὲς δὲ καὶ τάξεις ἐν ἱεροῖς ἢ δωρεὰς ἢ ἀποστασίας ἔχουσιν.

Ἐν τῷ θ' παρ' αἵρεσιν ἡ Ἀφροδίτη δαιμονιοπλήκτους ἀποτελεῖ ἢ ἐν ἱεροῖς ῥακενδύτας, κομοτροφοῦντας, ἀπὸ θεῶν τι θεῖον ἔχοντας ἀγγέλλειν ἢ ὀνείρων, φιλοσόφους· ταῦτα δὲ γίνονται ὁρῶντος μάλιστα Κρόνου. κατὰ αἵρεσιν δὲ ἡ Ἀφροδίτη ἐκεῖ εὐχρηματίστους, ἱερεῖς, θεοσεβεῖς· Κρόνου δὲ καὶ Ἄρεως συμπαρόντων ἢ τετραγώνως ἢ διαμέτρως ἐχόντων ἀναστατουμένους διὰ γυναικῶν καὶ κρινομένους καὶ δυστυχοῦντας καὶ ἀχαριστουμένους δι' αὐτάς, μάλιστα δὲ ἐπὶ τῶν τροπικῶν ζῳδίων· ταῦτα γὰρ τὰ ζῴδια τῶν πολυγάμων εἰσίν. ἐὰν δ' ὁ τοῦ Διὸς ταύτῃ συμπαρῇ ἢ τρίγωνος ἢ τετράγωνος, τεκνοποιουμένους

1 ss. cf. Firm. Mat., III, 2, 18 et supra locum tertium p. 147, 13 ss. 3 ἀποφθεγγομένους P; cf p. 147, 15 : ἐκ πόν(ου) φθεγγομένους AV. Leg. ἐκ πνεύματος φθεγγομένους? cf. p. 148, 2. ἐγκατόχους] cf. *Catal.*, V, 2. p. 146, 24 ss. 4 κῶ(μας) e corr. P. κόμας τρέφοντας] sicut galli vel fanatici, Firm. Mat., *l. c.*, p. 102, 6 (philosophos capillatos); cf. infra ad v 16; Maneth., I [V], 241 ss. 5-8 cf. Firm. Mat., III, 3, 17. 5 τεραστίοις θεῶν AV : περασθεῖ εἰς θεόν sic P. 8 ἀναλαμβανομένους AV : ἀνακλοινομέν(ου)ς P. 9 ἐν τ(ῷ) τῷ ἡλίῳ (signo astr.) ἱεροτέκωνας sic P. παρὰ VP : περὶ A. Delendum (cf. v. 11 et Firm. Mat., III, 4, 27, p. 123, 4: « diis terribiles ») aut legendum παρὰ θεῶν? 12 ss. cf. Firm. Mat., III, 5, 33 et supra p. 148, 1 ss. 13 ἱεροκτίτας P: ἱεροκτήτας AV; cf. Firm. « fabricatores templorum ». δὲ om. AV. 14 An ἐπιστασίας? 15 ss. cf. Firm. Mat., III, 6, 17 et p, 148, 1. 15 δαιμονιοπλήκτους P (cf. p. 164, 11 et Firmic. « daemonis interpellatione pulsari ») : δαιμονοπλόκους AV, fors. recte; cf. p. 148, 1-2 : δαίμοσι προσπλεκομένους et p. 160, 6, 11 : θεοπλόκους. 16 ῥακενδύτας V : ῥακενίτας A : ῥακοδώτας (pro ῥακοδύτας quod habemus p 148, 2) P; cf. Firm. Mat., l c., p. 148, 8 « in templis sordidos »; Plut.; *De superst.*, 7, p. 168 D; Maneth., l. c. κοσμογραφοῦντας codd., corr.; cf. v. 4 et Firmic. p. 148, 9 : « qui nunquam tondeant comam ». 17 ἀγγέλειν VP. γίνεται V. 20 ἀναστατωμένους P. καὶ διὰ γυναικῶν κριν. codd. : e Firmico corr. 21 δυστυχοῦντας AV : ἀστοχοῦντας P; cf. Firmicum « infelicitas » et p. 148, 8. Attamen videtur verbo ἐπιτευκτικούς p. 166, 1 oppositum. εὐχαριστουμένους AV. δι' AP : δὲ V. 22 ζῷα AV. 23 ταῦτα P. τεκνοποιουμένους AV : ταῦτα (vel πάντα) ποιουμένους P.

Digitized by Microsoft®

ὑπὸ γυναικῶν, ἐπαφροδίτους, ἐπιτευκτικοὺς καὶ κυριεύοντας τῶν τῆς γυναικός· τινὲς δὲ καὶ φροντισταὶ γυναικῶν γίνονται καὶ ἐν βασιλείοις ἀναστρέφονται διὰ γυναικῶν προφάσεις προβιβάζομενοι.

Ἑρμῆς ἑσπέριος ἐν τῷ θʹ ἱερεῖς, μάγους, ἰατρούς, ἐπιτηδεύοντας ἃ οὐκ ἔμαθον. ἑῷος δὲ ἱερομάντεις, θύτας, οἰωνοσκόπους, ἀστρολόγους θεοπλόκους, ἀφ᾽ ὧν καὶ βιοῦσιν.

Σελήνη δὲ ἐν τῷ θʹ <νυκτὸς> ξενιτευτὰς ἐπιδόξους. τινὲς δὲ καὶ ἀπὸ θεῶν ἱερῶν εὐπραγοῦσιν· ἐνίους δὲ καὶ γυναικῶν πράγματα πιστευομένους, εὐχρηματίστους, θεοσεβεῖς. ἡμέρας δέ, ξενιτευτὰς ἀδόξους, τὸν βίον ἐν πλάναις καὶ κινδύνοις ἔχοντας. τινὰς δὲ καὶ ἐν ἱεροῖς ἀδόξως ἀναστρεφομένους ἢ δουλικοὺς ἢ θεοπλόκους καὶ ἐξαγορευτάς, μάλιστα Ἄρεως ἢ Κρόνου ὁρώντων.

Τόπος δέκατος.

Ὁ δέκατος τόπος καλεῖται κέντρον, μεσουράνημα καὶ τεταρτημόριον τοῦ ὡροσκόπου. σημαίνει δὲ τὴν νεότητα καὶ τὴν πρᾶξιν καὶ γάμον καὶ τέκνα καὶ γονέων ὑπόστασιν. ἐν τούτῳ τῷ τόπῳ οἱ αἱρεσιάρχαι χαίρουσι καὶ πράξεις ἀγαθὰς καὶ ἐπωφελεῖς διδόασιν.

Ὁ οὖν Κρόνος ἐπὶ ἡμέρας ἐκεῖ, ἰδίῳ οἴκῳ ἢ ὑψώματι πλούσιον ἄνδρα ποιεῖ καὶ ἐν δημοσίαις χρείαις ὑπουργοῦντα, εὔγηρων, πλὴν τὸν γάμον καὶ τὰ τέκνα κακίζοντα· ἀλλὰ <καὶ> εὐθανασίαν ποιεῖ. ἔσται δὲ καὶ φιλογεωργός. ἐπὶ δὲ νυκτὸς φθείρει τὰ γονικὰ καὶ τὸν γάμον κακίζει καὶ τὰ τέκνα καὶ νωχελεῖς ποιεῖ καὶ κηπωροὺς καὶ ὑδραγωγοὺς ἢ ναύτας ἢ ἁλιεῖς ἢ πορθμ(εῖς) καὶ ὅλως πένητας καὶ περὶ ὑγρὰς ὕλας ἀναστρεφομένους. ὁ δὲ Ἄρης μεσουρανῶν ἡμέρας σκορπίζει τὰ τῶν γονέων καὶ ἢ θανατοῖ ἢ διΐστησι τοὺς τοκεῖς· ποιεῖ δὲ καὶ πλανήτας καὶ πένητας καὶ μοχθηρὰν τὴν νεότητα· κακίζει δὲ καὶ τὸν γάμον καὶ τὰ τέκνα. νυκτὸς δὲ μέτρια γίνονται τὰ κακά. ὁ δὲ Ζεὺς ἡμέρας μεσουρανῶν πλουσίους, εὐτέκνους, εὐγάμους καὶ φίλους ἐπισήμους, εἰ μὴ κακοποιὸς βλέψας βλάψει. νυκτὸς δὲ μέτρια γίνονται τὰ κακά. Ἀφροδίτη μεσουρανοῦσα νυκτὸς καὶ ἡμέρας, μάλιστα δὲ ἔξαυγος καὶ ἀκά-

3 ἀνατρέφονται AV; cf. infra v. 11, 24. 4-6 cf. Firm. Mat., III, 7, 18. 5-6 cf. Paul. Alex., N, 1. 6 θεοπλόκους AV : θεωπλόκους P; cf. v. 11 et p. 148, 15 : θεολήπτους. 7-12 cf. Firm. Mat, III, 13, 8 (p. 189, 9 ss). 7 δὲ prius, om. AV. νυκτὸς suppl. ξενιτεύοντας Paul. Alex. : ξενιτευτής verbum novum; cf. supra p. 148, 18, 20. 11 θεοπλώκους P; cf. supra v. 6 et p. 148, 21. ἐξαγορευτάς] « qui peccata confitentur », cf. *Religions orientales*², p. 325 ss. : ἐξαγορεύοντας p. 148, 22. 14 Initium loci decimi, folio avulso, deest in P usque ad p. 167, 30. ὁ δέκατος τόπος A, 15 γάμους V. 19 εὐγέρων A : om. V. 19-20 πλὴν — κακίζοντα delenda? cf. v. 21-22. 20 καὶ suppl.; cf. p. 167, 2. ἀθανασίαν codd, corr.; cf. p. 167, 3. 22-24 cf. Maneth, I (V), 83 ss. 23 πορθμεῖς dubitanter scripsi; verbum litteris cryptogr. exaratum, πορθμυ superscr. m. 2 A : πορινόυνσε V. De πόρνοις cogitavit qui hoc celavit. 23-26 cf. Maneth., I (V), 167 ss. 25 τοκεῖς V : γονεῖς A. 25-26 ποεῖ δὲ — γάμον om. V.

Digitized by Microsoft®

κωτος, πιστευομένους δημόσια πράγματα καὶ γάμῳ πλουσίων γυναικῶν ὁμιλητὰς καὶ ὑπὸ γυναικῶν φιλουμένους καὶ εὐγηρίαν καὶ εὐθανασίαν. Ἑρμῆς μεσουρανῶν πολυμηχάνους, εὐφυεῖς περὶ πάντα καὶ φρονίμους, εὐτέκνους, τιμωμένους ἐν πόλεσι καὶ μεγάλους ὀνομαζομένους καὶ φίλους πολλοὺς ἔχοντας, οἷς καὶ καταλείψουσι πράγματα. Σελήνη καὶ Ἥλιος μεσουρανοῦντες δίχα τῆς τῶν κακοποιῶν θεωρίας πατέρας ἐπισήμους, τὰ δὲ γεννηθέντα πολύφιλα καὶ φίλα μεγιστᾶσιν. εἰ δὲ τὸ δωδεκατημόριον τοῦ Ἡλίου ἢ τῆς Σελήνης ἐκεῖ πέσῃ, εὐγενεστάτους λέγε τοὺς γονεῖς. ὁ κλῆρος ἢ ὁ κύριος αὐτοῦ μεσουρανῶν ἔξαυγος καὶ ἀκάκωτος εὐτυχεστάτους, ὁ κύριος τοῦ ζ′ μεσουρανῶν εὐγαμίας, ὁ κύριος τοῦ η′ μεσουρανῶν ἐκ κληρονομιῶν αὐξήσεις, ὁ κύριος τοῦ θ′ μεσουρανῶν εὐτυχίας ἐπὶ ξένης δίδωσιν. ὁ Ἀναβιβάζων μεσουρανῶν μετὰ Σελήνης Ἀφροδίτης Διὸς εὐτυχεῖς ἐπισήμους καὶ φίλους.

Κρόνος καὶ Ἄρης μεσουρανοῦντες, ἐὰν θεωρήσωσι Δία καὶ Ἀφροδίτην καὶ Ἥλιον, κάκιστον τὸ σχῆμα. ἔσονται γὰρ οἰκτροί, κλέπται, ἢ μετὰ γυναικῶν εὐτελῶν βιοῦντες. ὃ ἂν δὲ κτήσωνται, ἀπωλέσουσιν ἢ δημεύονται ἢ ὀλιγοχρόνιοι ἢ βιοθάνατοι γενήσονται, μάλιστα τῆς Σελήνης παρούσης.

Ὁ Καταβιβάζων μεσουρανῶν μετὰ Διὸς Ἀφροδίτης ἀκαταστατήσουσιν ἐν τῷ βίῳ αὐτῶν καὶ ἐμπαθεῖς ἔσονται καὶ ἐπικίνδυνοι καὶ ἃ πορίζονται, ἀπολέσουσιν· ἔσονται δὲ καὶ μητρὸς ἐμπαθοῦς, πενιχρᾶς. εἰ δὲ Κρόνος καὶ Ἄρης μεσουρανήσωσιν ἢ θεωρήσωσι τὸν τόπον, ἐν μὲν τῇ νεότητι αὐτῶν κακοπαθήσουσι καὶ μετὰ ταῦτα ἐν ἀγαθοῖς ἔσονται, κτώμενοι ἀπὸ δυναστείας καὶ βίας, ὑπάρχοντα ἀποστεροῦντες ἰσχύϊ καὶ τυραννίδι, εὐτελῶν δὲ υἱοὶ καὶ οὐ φροντίζοντές τινος διὰ τὸ Ἄρεα καὶ Κρόνον χαίρειν ἐν τῷ Καταβιβάζοντι. εἰ δὲ Κρόνος μετὰ Ἀφροδίτης μεσουρανεῖ, εἰς γυναῖκας ἀκαταστατήσουσι καὶ μετὰ ταῦτα ἀνασφαλοῦσι.

Ἐπὶ δὲ τοῦ μεσουρανήματος ὁ Κρόνος <ἡμέρας> ἡγεμόνας γεννήσει, ἐάνπερ καὶ Ἥλιος ὡροσκοπῶν τυγχάνῃ. ἐὰν δὲ ὁ Ἥλιος μὴ ὡροσκοπῇ, ὁ δὲ τοῦ Κρόνου ἡμέρας μεσουράνῃ, ποιεῖ εὐσχήμονας καὶ φιλογεώργους καὶ φιλοπαρύγρους. νυκτὸς δὲ ὁ τοῦ Κρόνου μεσουρανῶν

2 εὐγηρίαν A; cf. p. 166, 19 : εὐπορίας V. 4 καὶ om. V. 9 λέγει A. 12 αὐξήσει V. 15-16 Ἀφροδίτην, Δία καὶ Ἥλιον V. 17 γυναικῶν V : litter. crypt. in A, εὐτυχῶν superscr. m. 2. 18 δημεύοντες V. γεννήσονται A. 22 ἐμπαθεῖς V. 23-24 τὴν νεότητα V. 28-29 ἀνασφήλωσι A : ἀνασφήλλουσι V. 30 Iterum incipit P, f. 110 : ... πει δε (l. ἐπὶ δὲ) τοῦ μεσουρανήματος 30-33 cf. Firm. Mat., III, 2. 20. 30-31 Κρόνος μεσουρανῶν Ἥλιος ὡροσκοπῶν ἡγεμόνας ποιοῦσι. εἰ δὲ ὁ Ἥλιος AV. 30 ἡμέρας suppl. 32 ὁ τοῦ Κρόνου μεσουρανῶν ἡμέρας εὐσχήμονας AV. 32-33 πολλυγεώργους καὶ πολλυπαρύγρους P : corr.; cf. Firm. 33 καὶ φιλοπαρύγρους om. AV. 33-p. 168, 5 Firm. Mat., III, 2, 21. 33 ὁ τοῦ Κρόνου μεσουρανῶν om. AV.

Digitized by Microsoft®

δυσπράκτους ἀποτελεῖ καὶ ἐπὶ παρύγρων τάσσει· καὶ τὰ τῆς γυναικὸς οὐκ ἀγαθὸς ὁ θεός, ἀλλ' οὐδὲ [μὲν ὁ] περὶ τέκνων ὠφέλιμος ἔσται, εἰ μή πως ἀγαθοποιὸς ἐπιμαρτυρήσας τῷ τοῦ Κρόνου ὀλίγου παρωφελήσει τῆς τεκνώσεως μητρός. καθόλου δὲ ὁ θεὸς οὗτος νυκτὸς ἐπίκεντρος τυχὼν οὐκ ἀγαθός ἐστι. ἔτι δὲ καὶ λύπας ἐπὶ γυναιξὶν ἀποτελεῖ.

Ἐπὶ δὲ τοῦ μεσουρανοῦντος ζῳδίου ἡμέρας τυχὼν ὁ Ζεὺς ἀγωνιστὰς ἀποτελεῖ, δημοσίων πραγμάτων ἄρχοντας, ὑπὸ ὄχλων τιμωμένους, λαμπρούς, ἐμφανεῖς, τρυφηλούς, ἢ παρὰ βασιλέων ἢ μεγιστάνων πιστευομένους πράγματα, στεφανηφοροῦντας ἐν ὅλῳ τῷ βίῳ· νυκτὸς δὲ ἐπὶ τοῦδε τοῦ τόπου τυχὼν εὐσχήμονας ἀποτελεῖ, εὐκόπως δὲ σφαλλομένους καὶ ἐκπίπτοντας τοῦ βίου.

Ἐπὶ δὲ τοῦ μεσουρανοῦντος ζῳδίου νυκτὸς μὲν ὁ τοῦ Ἄρεως τυχὼν ἐπισφαλεῖς μὲν καὶ ἐπικινδύνους, ἡγεμόνας δὲ ζωῆς καὶ θανάτου κυρίους ἢ στρατοπεδάρχας φοβεροὺς κλίμασιν ἀποτελεῖ. ἡμέρας δὲ ὁ τοῦ Ἄρεως μεσουρανῶν οὐκ ἀγαθός· ἀπράκτους γὰρ ποιεῖ ἢ ἐγκοπτομένους ταῖς πράξεσι ἢ ἐπιβολαῖς καὶ βίων συνάρπαγας ἢ καὶ φυγάδας γιγνομένους καὶ ἐπὶ ξένης τελευτῶντας. Ἄρης μεσουρανῶν ὁμόκεντρος Ἡλίῳ ἀπὸ πατέρων ποιεῖ τὰς βασιλείας ἢ ἡγεμονίας ἀντιπαραδιδομένας τέκνοις.

Ἐπὶ δὲ τοῦ μεσουρανοῦντος ζῳδίου τυχοῦσα Ἀφροδίτη δοξαστικοὺς ἀποτελεῖ· ἐάνπερ ἀκαταμαρτύρητος ἤτοι κατὰ τετράγωνον ἢ διάμετρον ἤτοι κατὰ συμπαρουσίαν τύχῃ ὑπὸ Κρόνου καὶ Ἄρεως ἐν διαφόροις πράγμασιν ποιήσει, μάλιστα ἐὰν καὶ ἀνατολικὴ τύχῃ· ποιεῖ

1 ἀποτελεῖ om. AV. καὶ ἐν ὑγροῖς τασσομένους AV. ἐπὶ e corr. P. γτάσσει. pro (ἐν)τάσσει? P. 1-2 καὶ τὰ τῆς — ἔσται] δυσγαμίαν τε ποιεῖ καὶ δυστεκνίαν A : δυσγαμίας τε ποιεῖ καὶ δυστεκνίας V. 2 μὲν ὁ del. 2-4 εἰ μὴ ἀγαθοποιὸς τὸν Κρόνον ὁρῶν ὠφελήσει· καθ' ὅλου (καθ' ὃ V) γὰρ ὁ Κρόνος ἐπὶ νυκτὸς AV. 3 πρ(οσ)οφειλησ' P; corr. 5 τυχὼν om. AV. ἔτι δὲ — ἀποτελεῖ om. AV. 6-11 cf. Firm. Mat., III, 3, 18 ss. Ζεὺς ἡμέρας μεσουρανῶν ἄρχοντας δημοσίων, ἐντίμους, τρυφηλούς, στεφανηφόρους (σφραγηφόρ. V) ἢ φιλαγωνιστάς, νυκτὸς δὲ εὐσχήμονας ἀλλ' ἐκπτώτους AV. 8 τρυφηλούς om. P : « luxuriosos » Firm. 9 στεφανηφόροι διὰ βίου saepe in titulis memorantur. 10 εὐκό(πω)ς dubium in P : « cito » Firm. 12-15 Firm. Mat., III, 4, 28. 12-17 Ἐπὶ δὲ τοῦ — τελευτῶντας] Ἄρης μεσουρανῶν ἢ ὡροσκοπῶν νυκτὸς (νυκτ. om. V) ἡγεμόνας ζωῆς καὶ θανάτου, ἀλλ' ἐπικινδύνους. ἡμέρας δὲ Ἄρης μεσουρανῶν οὐκ ἀγαθὸς (-θὸν V) ἀπράκτους γὰρ ποιεῖ ἢ ἐγκοπτομένους ταῖς πράξεσι καὶ ζημίους καὶ (ἢ V) φυγάδας καὶ ἐπὶ ξένης τελευτῶντας AV. 12 μὲν corr. : δὲ P. 14 κλήμασιν P. 15-19 Firm. Mat., III, 4, 32. 15 ἀγαθούς P. γὰρ ποιεῖ om. P. 16 ἐκκοπτωμένους P. ἀποβόλαις P; corr.; cf. p. 153, 14 : 172, 11. συναρπαγαῖς P; corr. 17 φυγαῖς P· ξένοις P. 17-19 Ἄρης — τέκνοις om. P. 20 ss., cf. Firm. Mat., III, 6, 21. 20-p. 169, 1 Ἄρης — τιμωμένους] Ἀφροδίτη μεσουρανοῦσα ἀκάκωτ(ος), τουτέστιν ὑπὸ Κρόνου καὶ Ἄρεως μὴ ὁρωμένη κατὰ τετράγωνον ἢ διάμετρον ἢ συμπαρουσίαν, ἐνδόξους ποιεῖ. μάλιστα ἐὰν ᾖ ἕξαυγος AV. 22 ἤτοι κατὰ corr. : γ(ίνετ)αι καὶ P. ἀπὸ P. 23 Leg. εὐδιαφόρους i. e. versutos? καὶ ἐὰν P.

Digitized by Microsoft®

γὰρ δημοσίους, μουσικούς, ἀπὸ πόλεων τιμωμένους· εἰ δὲ ὁ τοῦ Κρόνου συμπάρῃ ἢ μαρτυρήσῃ κατὰ τὸν ὑποδεδειγμένον τρόπον, ἐπιψόγους ποιεῖ καὶ ἐν ταῖς δόξαις οὐκ αὐθέντας ἀλλὰ ὑπὸ ἑτέροις πράξαντας ἢ καὶ τὰ ἑαυτῶν ἑτέροις ἐμπιστεύοντας· ἐὰν δὲ καὶ ὁ τοῦ Ἄρεως κατοπτεύσῃ τὸν τῆς Ἀφροδίτης, καθάπερ προϋποδέδεικται, ἐπαίσχρους καὶ περιβοήτους ἀποτελεῖ. εἰ δὲ γύνη τύχῃ ἐπὶ τοῦδε τοῦ διαθήματος, πολυκοινήσει ἑταιριζομένη καὶ ἐπὶ τέγαις σταθήσεται [ταῖς] διὰ ζωῆς· κατὰ δὲ τὰς τῶν ζῳδίων ἀναλογίας αἱ διαφοραὶ τῶν πράξεων <καὶ> παθῶν τελίσκονται· ἐν γὰρ τοῖς λατρώδεσι καὶ τοῖς τροπικοῖς καὶ Κρονικοῖς ἢ ἰχθυϊκοῖς ζῳδίοις τὰ τοιαῦτα τελεσθήσεται. εἰ δὲ [ὁ] ἀνὴρ εἴη, <ἔσται> πολύψογος καὶ παιδεραστεύσεται καὶ ἀσελγῶν πάντα διαπράξεται. εἰ δέ πως καὶ ὁ Ἥλιος ἐν θηλυκῷ ζῳδίῳ τύχῃ, τῆς Σελήνη ὁμοκέντρου μετὰ τοῦ Ἄρεως συγγενομένης ἐν θηλυκῷ ζῳδίῳ, ἄνδρες γεννώμενοι εὐνοῦχοι ἢ ἀπόκοποι ἢ ἑρμαφρόδιτοι ἔσονται γυναικῶν ἔργα ἐπιτελοῦντες.

Ἐπὶ δὲ μεσουρανοῦντος ζῳδίου ἑῷος τυχὼν ὁ Ἑρμῆς θαυμαστικωτέρας καὶ ἐναργεστέρας τὰς πράξεις ἀποδείξει· ἔσονται γάρ, μαρτυρουμένου αὐτοῦ οἰκείως ὑπό τινος τῶν τῆς αἱρέσεως, μεγάλοι δυνάσται, πόλεων ἢ βασιλέων ἢ μεγιστάνων πράγματα πιστευόμενοι, πιστικοὶ ἀγαθοί, κριτικοί. Ἄρεως δὲ ἐναντιουμένου αὐτῷ σφαλήσονται ἐπὶ προκοπαῖς οἰόμενοι ἀναβιβάζεσθαι καὶ ἢ φυγῆς ἢ καταδίκης ἢ καὶ βιοθανασίας μεθέξουσι· ἑσπέριος δὲ τυχὼν Ἑρμῆς μεσουρανῶν κλιμάτων

1 πόλεως P. 1-4 εἰ δὲ ὁ τοῦ — πράξαντας] κακωθεῖσα δὲ ὑπὸ Κρόνου ἐπιψόγους καὶ ὑποτεταγμένους ἄλλοις. 2 ἢ] καὶ P. 3 ἐπιψογέρους P. ἑτέρους P; corr. 4 καὶ prius om. AV. 4-6 ἐὰν δὲ καὶ — ἀποτελεῖ] ὑπὸ δὲ Ἄρεως κακωθεῖσα αἰσχροὺς κακοφήμους ποιεῖ. 5 προυποδέδεκται P : corr. 6-12 εἰ δὲ γυνὴ — διαπράξεται] ἐπὶ δὲ θηλειῶν, ἑταιρίδας, ζώσας ἀπὸ τοῦ σώματος πρὸς τὴν τοῦ ζῳδίου φύσιν, οἷον τὰ λατρώδη καὶ τροπικὰ καὶ κρονικὰ καὶ ἰχθυκά, ποιεῖ ὡς εἴρηται, ἐπὶ δὲ ἀνδρῶν, ἀσελγεῖς AV. 7 πολυκίνησει P; corr., cf. p. 137, 9. ἐπιταγαῖς P; corr., cf. Vett. Val., p. 121, 32 : πολύκοινοι γίνονται καὶ ἐπὶ τέγαις σταθήσονται. Maneth. VII (III), 143, 533; II, 430 : « quae propter necessitatem vitae in meritorio se statuat » Firm. 7 ταῖς del. Leg. δι' ἀνάγκην ζωῆς? 8 κατὰ corr. : παρὰ P. ζῴων P. 9 καὶ om. P. 9-10 cf. supra p. 160, 10. 10 ἰχθυϊκοῖς] cf. Suet., *Tib.*, 44. 11 ὁ del. ἔσται suppl. : « infamis erit in infinitum » Firm. ἀσελγεῖ P. 12-15 εἰ δέ πως καὶ — ἐπιτελοῦντες] ἐὰν δὲ ὁ Ἥλιος ἐν θηλυκῷ ᾖ ζῳδίῳ τῆς Σελήνης ὁμοκέντρου οὔσης, τοῦ δὲ Ἄρεως ἐν θηλυκῷ ζῳδίῳ, εὐνούχους ἢ ἀποκόπους ἢ ἑρμαφροδίτους γυναικῶν ἔργα ποιοῦντας AV. 13 ὁ γενομένη sic P. 14 γενόμενοι P. 16 ss, cf. Firm. Mat., III, 7, 21. 16-18 Ἐπὶ δὲ — μεγάλοι] Ἑρμῆς μεσουρανῶν ἑῷος θαυμαστὰς καὶ ἐνεργεῖς πράξεις δίδωσιν. εἰ μαρτυρεῖται οἰκείως ὑπό τινος τῶν τῆς αἱρέσεως. ἔσονται γὰρ μεγάλοι AV. 16 Ante ἑῷος duo verba expuncta P. 17 ἐνεργεστέρας P : corr. : « magnos » Firm. Leg. « magnificos »? γάρ] δὲ P. 18 οἰκείως] εικίοι sic P. 19-20 πιστικοὶ — κριτικοὶ om. AV. 20 σφαλλήσονται V : σφάλλωνται P. 21 καὶ ἢ om. P. καὶ om. AV. 22-p. 170, 2 ἑσπέριος δὲ Ἑρμῆς μεσουρανῶν ξενιτείας ποικίλας ποιεῖ καὶ δεδημοσιευμένας τὰς πράξεις AV. 22 Ἑρμῆς μεσουρανῶν om. P.

Digitized by Microsoft®

μεταβολὰς καὶ ξενιτείας ποικίλας ποιεῖ· ἔστι δὲ καὶ δεδημοσιευμένους τὰς πράξεις ἀποδείξει. ἐπιθεωρούμενος δὲ ὑπὸ Κρόνου κατὰ διάμετρον ἢ τετράγωνον στάσιν παρύγρους τὰς ἀσχολίας καὶ τὰς ἐπιχειρήσεις ἀποδίδωσι καὶ πάθεσιν ὑγροῖς περικυλίεται τοὺς γεννωμένους.

Ἐπὶ δὲ τοῦ μεσουρανοῦντος ζῳδίου τῆς αἱρέσεως τυχοῦσα ἡ Σελήνη ὁμόκεντρος μεγάλους δυνάστας, βασιλεῖς, ζωῆς καὶ θανάτου κυρίους γεννήσει. ζῳδιακῶς ἐπὶ τοῦ μεσουρανήματος τόπου τῆς αἱρέσεως τυχοῦσα μεγάλους ταῖς πράξεσι καὶ ταῖς ἐπιβολαῖς ταῖς ἐγχειριζομέναις ἢ διαπρασσομέναις, ὑποδεδεγμένους χρήματα· ** πόνους δὲ καὶ ταλαιπορίας πολλάκις γεννήσει. παρ' αἵρεσιν δὲ τυχοῦσα ἐπὶ τοῦδε τοῦ τόπου μετρίους τοῖς βίοις καὶ ταῖς πράξεσιν, ἐπισφαλεῖς καὶ ἐπιτευδημάτων <μὴ> ἐφαπτομένους γεννήσει· ἐὰν δὲ ὁ Ἥλιος μήτε ὡροσκοπῶν μήτε μεσουρανῶν τύχῃ, μεγάλους δυνάστας, ἀρχικούς, βασιλεῖς φοβεροὺς ἀποδείκνυσιν.

Τόπος ἑνδέκατος.

Ὁ ια' τόπος καλεῖται Ἀγαθὸς Δαίμων καὶ ἐπαναφορὰ τοῦ μεσουρανήματος. οἱ οὖν ἀγαθοποιοὶ ἀστέρες ἐν τούτῳ τῷ τόπῳ τυχόντες ἰδίοις ὄντες προσώποις ἢ οἴκοις ἢ ὑψώμασιν ἢ ὁρίοις σημαίνει μέγαν πλοῦτον καὶ πράξεις ἐπιφανεῖς. δηλοῖ δ' ὁ ια' τόπος καὶ τὴν τρίτην ἡλικίαν· σημαίνει δὲ καὶ περὶ πράξεως καὶ πατρωνίας καὶ προστασίας λόγον κατὰ τὴν ἀκμὴν τῆς νεότητος.

Πᾶς δὲ κλῆρος ἢ πᾶς οἰκοδεσπότης κλήρου ἢ κέντρου ἢ τόπου ἢ

1 ποικίλας om. P. δεδημοσιωμένους P. 2-4 ὁρώμενος δὲ ὑπὸ Κρόνου τετραγών(ως) ἢ διαμέτρ(ως) παρύγρους τὰς ἀσχολίας δίδωσι καὶ ὑγρῶν ὀχλήσεις AV. 3 τὰς τὰς P. 4 περικηλύεται (η dubium) P : corr., cf. tamen ad p. 130, 16. γενομένους P. 5 ss., cf. Firm. Mat., III, 13, 9. 5-6 Ἐπὶ δὲ — ὁμόκεντρος] καὶ μεσουρανῶν ὁμόκεντρος κατὰ αἵρεσιν AV qui Mercurio attribuunt. 5 ὡροσκοποῦντος P : corr. 6 ὁμόκεντρος] i. e. in exaltatione vel in domicilio? cf. Firm. Mat., l. c. 6-7 ζωῆς — γεννήσει om. AV. 7-10 ζῳδιακῶς — γεννήσει] ζῳδιακῶς (ἐν ζῳδιακῷ V) δὲ μόνον (μόνους V) ἐμπράκτους, μεγαλοπράγμονας, φθονουμένους δέ AV. 9 διαπράσσοντας ὑποδεδειγμένα P : corr. Ante πόνους deest : « si ad Saturnum feratur » Firm 10 γενησ' P. παρ' εραισ' sic P, 10-11 τυχοῦσα ἐπὶ τοῦδε τοῦ τόπου om. AV. 11-12 καὶ ἐπιτ. ἐφαπτομένους γεννήσει om. AV. 12 μὴ suppl. γενησ' P. δὲ AV : τε P. ὡροσκοποῦντος P. 13 μεσουρανοῦντος P. 13-14 ἀρχικοὺς — ἀποδείκνυσι] βασιλεῖς ποιεῖ AV. 15 **P**, f. 111; **A**, f. 16; **V**, f. 38. 16 ια' m. 2 in rasura A. 16-17 καὶ ἐπ. τ. μεσουρανήματος om. AV. 17-19 cf. Vett. Val., II, 6, p. 62, 20-23. 17 ἀστέρες ἐν τ. τ. τ. τυχόντες] ἐνταῦθα AV. 18-19 μέγαν πλοῦτον σημαίνει AV. 19 ὁ δὲ ια' τόπος δηλοῖ P : δηλοῖ δ' ὁ (ὁ om. V) ια' (ια' in ras. m. 2 A) AV. τρίτην P : γ' AV. 20 σημαίνει δὲ om. AV. πράσεως V. 20-21 προστασίας λόγον P : ἀποστασίας AV ; cf. Paul. Alex., M, 4, v. 3 : σημαίνει δὲ τὸν περὶ συστάσεως καὶ προστασίας λόγον.

Digitized by Microsoft®

τριγώνου ἐκεῖ τυχὼν πάντα ἀγαθὰ σημαίνει, εἰ μὴ ὑπὸ κακοποιῶν θεωρηθῇ ἢ ὑπὸ τὰς αὐγὰς τοῦ Ἡλίου τύχῃ ἢ ἐν τῷ ἰδίῳ ταπεινώματι ἢ ἐναντιώματι ἢ τοῖς ἀριθμοῖς ἀφαιρῶν καὶ βλάψῃ τὴν τοσαύτην ἀγαθότητα τοῦ τόπου. ὁμοίως δὲ καὶ οἱ κακοποιοὶ ἐκεῖ τυχόντες καὶ λόγον ἔχοντες πρὸς τὴν γένεσιν (λέγω δὴ κλήρων ἢ τόπων ἢ τριγώνων κυρίους) δίχα τῶν κακῶν φάσεων (λέγω δὴ ὑπαύγων ἢ ταπεινωμάτων ἢ ἐναντιωμάτων ἢ ἀφαιρέσεων) ἀγαθὴν παρέχουσι τὴν γένησιν καὶ τὰ μὲν ἀγαθὰ πληθύνουσι τὰ δὲ κακὰ μειοῦσιν.

Ὁ δὲ τόπος καλεῖται Διὸς ἐπειδὴ ἐν τούτῳ τῷ τόπῳ χαίρει παρὼν ὁ Ζεύς· σημαίνει δὲ ὁ τόπος καὶ τὸν περὶ τέκνων λόγον.

Ἐὰν ὁ κύριος τοῦ ια′ τόπου ὡροσκοπῇ, ὁ δὲ τοῦ Κακοῦ Δαίμονος δύνῃ, εὔπορόν γε ἐν νεότητι καὶ ἐπὶ τοῦ γήρως μέτριον ποιεῖ. εἰ δὲ ἐναλλάσσει τὸ σχῆμα, ἐναλλάξει καὶ τὴν τύχην· ἐὰν δὲ ὁ Ἀναβιβάζων τύχῃ ἐν τούτῳ τῷ τόπῳ καὶ εὑρεθῶσιν ἐκεῖ Ἀφροδίτη ἢ Ἑρμῆς, ἀπὸ γυναικῶν πάσας εὐτυχίας ἕξει ἢ ἀπὸ εὐνούχων ὑπάρχοντα κτήσεται. ἐν δὲ τοῖς πρώτοις χρόνοις ἀκαταστατήσει ἐπὶ γυναικὶ καὶ τέκνοις, φιλητὸς δὲ ἔσται παρὰ γυναιξίν. εἰ δὲ συμπαρῇ αὐτοῖς Ζεύς, ἀγαθὸς ἔσται· ὑπάρχοντα γὰρ πολλὰ κτήσεται καὶ ἐξουσιάστης ἔσται πόλεως αὐτοῦ· εἰ δὲ Κρόνος καὶ Ἑρμῆς ἐκεῖ τύχωσιν, ἀγαθὸς δὲ ἀστὴρ μὴ ἐπιθεωρήσῃ, ἀτύχης ἔσται ἀλώμενος καὶ ἐπιδικαζόμενος τῆς ζωῆς. εἰ δὲ Ζεὺς καὶ Ἀφροδίτη μετὰ Σελήνης ἢ μετὰ Ἡλίου ἐκεῖ τύχωσι, εὐτυχεῖς ποιήσει καὶ πολλὰ ὑπάρχοντα κτωμένους. ζήσουσι δὲ ἔτη ο′. ἐὰν ὁ Καταβιβάζων ἐν τῷ ια′ τόπῳ τύχῃ, καὶ Ζεὺς καὶ Ἀφροδίτη ἐκεῖ τύχωσι, ἀκαταστασίαν <ἕξει> καὶ ὅσα ἂν κτήσεται ἀπολέσει καὶ μετὰ ταῦτα εὐπορήσει. εἰ δὲ Κρόνος καὶ Ἀφροδίτη ἐκεῖ τύχωσι, κακοπαθήσει ἐν νεότητι καὶ μετὰ ταῦτα ὑπάρχοντα κτήσεται καὶ ἐπὶ ὑγρῶν χαιρήσει καὶ βιώσει τὸν λοιπὸν

1-2 ὑπὸ κακοποιῶν — τύχῃ] κακωθῇ ἢ ὕπαυγος ᾖ ἐν ἰδίῳ οἴκῳ ἢ ἐναντιώματι AV. 3 ἀναφέρων P. βλάψει AV. 5 κλῆρον ἢ τόπον ἢ τρίγων(ον) (signo astr.) P. 6 κυρίους om. PV : κυ (compendio) A. 7 ἀγαθὴν ἔχουσι τὴν γένεσιν P : ἀγαθὰ παρέχουσιν AV. 8 πλήθουσι P. 9-10 Paul. Alex., N, 4, v. 2. 9 ἐν τούτῳ τῷ τόπῳ om. AV. 10 ὁ Ζεύς P : ἐκεῖ AV. τὸν et λόγον om. AV. 11 τόπου om. AV. τοῦ ιβ′ δὲ AV. 12 δύνει V. εὔπιρον γεναιότητι sic P : ἄπορον ἐν νεότητι AV. τὸ γῆρας AV. ποιήσει P. 13 ἐναλλὰξ καὶ ταύτης τύχης ἐναλλὰξ V : ἀναλλὰξ (sic) κατὰ (leg. καὶ τὰ) τῆς τύχης ἐναλλάξ A. ἐναλλάξεισιν P : corr. ἐὰν δὲ om. AV. ὁ om. P. 13-15 ἐὰν δὲ — κτήσεται] ὁ ἀναβιβάζων ἐν τῷ ια′ μετὰ Ἀφροδίτης Ἑρμοῦ ἀπὸ γυναικῶν (γυνεκων cryptogr. A) εὐτυχίας ἢ ἀπὸ εὐνούχων (ευνουχων cryptogr. A) AV. 15 εὐνούχου P. 16 γυναιξὶ P. καὶ φιλετὸς P. 17 ὑπὸ γυναικῶν AV. 17-p. 172, 3 Formam contractiorem praebent AV : εἰ δὲ καὶ Ζεὺς συμπάρῃ, ἔσται πλούσιος καὶ ἄρξει τῆς πατρίδος. Κρόνος Ἑρμῆς ἐν τῷ ια′ ἀθεώρητοι ὑπὸ Διὸς Ἀφροδίτης δυστυχεῖς καὶ πλάνητας καὶ ἐπιδίκους ποιήσει. Ζεὺς Ἀφροδίτη μετὰ Σελήνης ἢ μετὰ Ἡλίου ἐκεῖ· εὐτυχεῖς καὶ πλουσίους. ζήσουσι δὲ καὶ ἔτη ο′. ὁ Καταβιβάζων ἐν τῷ ια′ κακοπαθείας ἐν νεότητι καὶ μετὰ ταῦτα εὐπορίας καὶ εὐτεκνίας καὶ εὐγηρίας. 18 γὰρ corr. : δὲ P. κτίσεται P. 19 ἐπιθεωρίσει P. 20 εὐτύχης P. 22 ζήσει P. 24 ἕξει suppl. 25 ἐνεώτητη sic P. 26 Leg. ἐπὶ γήρως? cf. supra v. 12. χαίρετε P.

Digitized by Microsoft®

βίον ἐν καλοῖς. εἰ δὲ ἀπὸ Καταβιβάζοντος εἰς Ἀναβιβάζοντα ἐρχόμενοι τύχωσι, πάνυ κάλλιστον· ἐν τῷ τέλει τοῦ βίου αὐτὸς εὐτυχήσει καὶ ὑπάρχοντα κτήσεται καὶ ἔτη πολλὰ ζήσεται ἐπεὶ εἰς φῶς ἦλθον οἱ ἀστέρες.

Ἐπὶ δὲ τῶν ἀγαθοδαιμονούντων ζῳδίων ἡμέρας τυχὼν Κρόνος βραδυτέρας τὰς βασιλείας καὶ τὰς ἡγεμονίας ἀποδίδωσιν ἐάνπερ ὁ Ἥλιος ὡροσκοπῶν τυγχάνῃ· ἐκδεχόμενος δὲ καὶ τὴν συναφὴν τῆς Σελήνης αὐξομένης ἐπὶ πλέον τὰ ἀγαθὰ μείζους † αἱρεσιαρχέτας ἀποδίδωσιν. ἐὰν ὁ Ἥλιος <μὴ> ὡροσκόπῃ, τύχῃ δὲ ὁ ἀστὴρ ἡμέρας ἐπὶ τῶν ἀγαθοδαιμονούντων ζῳδίων ὑπάρχων, προβαίνοντων τῶν χρόνων τὰ τέλεια κτωμένους ποιεῖ· τῶν δὲ ὑπαρχόντων ἐστὶν μειωτὴς καὶ ἐπὶ νεότητος ἐπίβουλος. νυκτὸς δὲ βραδυτέρους ταῖς ἐπιβολαῖς καὶ ἀργοτέρους ταῖς πράξεσι ἀποδείκνυσιν, τινὰς δὲ καὶ ἐκπίπτοντας τῶν ἰδίων καὶ τὰ περικτηθέντα ἀποβάλλοντας.

Ἐπὶ δὲ τῶν ἀγαθοδαιμονούντων ζῳδίων ἡμέρας τε καὶ νυκτὸς τυχὼν ὁ Ζεὺς ἰσχυρότερος καθέστηκε· γενήσονται γὰρ ἐπ' ἄθλων τὸ κράτος ἔχοντες. καὶ θεῖα θνητοῖς δόγματα γεννήσεται, καὶ τοῖς ὀστέοις ὁλοκλήρους ἀναπλάσσει.

Ἐν δὲ τοῖς ἀγαθοδαιμονοῦσι ζῳδίοις νυκτὸς ὁ τοῦ Ἄρεως τυχὼν πολλῶν ἀγαθῶν ὕπαρξιν ποιεῖ καὶ ὑπ' ὄχλων τιμῆς ἠξιωμένους καὶ

1 εἰ δὲ Καταβιβάζων εἰς ἀναβιβασμόν ἐρχόμενος P. 2 3 πάνυ κάλλιστον — ἐπεὶ] πάνυ καλόν ἐστιν. ἐν γὰρ τῷ τέλει τοῦ βίου εὐτυχοῦσι καὶ ζήσονται ἔτη πολλὰ ἐπειδὴ P. 3 καὶ om. P. 4 ss. Diversa praebet Firmic., III, 2, 25. Haec ad quintum locum pertinent, cf. supra p. 153, 9. 3-13 Κρόνος ἡμέρας ἐν τῷ (ἐν τῷ om. A) ια' βραδυτέρας τὰς βασιλείας (βασιλείας litt. crypt. A) καὶ τὰς ἡγεμονίας δώσει (δώσουσιν A) ἐάνπερ ὁ Ἥλιος ὡροσκοπῇ, δεχόμενος δὲ καὶ τὴν τῆς Σελήνης συναφὴν αὐξιφωτοῦσαν, εὐτυχίας δώσει πολὺ μείζονας, ἀλλ' ἐν μὲν νεότητι μειοῖ τὰς κτίσεις, ἐν δὲ τῷ τέλει χορηγεῖ ἀγαθὰ (ἀγαθὸν V)· νυκτὸς δὲ βραδυτέρους ταῖς ἐπιβολαῖς καὶ ἀργοτέρους ταῖς πράξεσι ποιεῖ· τινὰς δὲ καὶ ἐκπτώτους AV. 6 τὴν om. P. 7 μείζους αἱρεσιαρχέτας verba corrupta; cf. Firmic., p. 99, 24: « perpetuas tribuit felicitates et maiorum potestatum ornamenta decernit ». 8 μὴ suppl; cf. p. 153, 12 — ἀστὴρ] Legendum Ζεὺς (etiam p. 153, 12 pro Κρόνος) cf. Firmic., p. 99, 5. 9 προβένοντας τῷ χρόνῳ τὰ τελυεχθωμένους P; corr. ex p. 153, 12 et Paulo, N, 4, v. 11. 10 μειώτης] cf. Paul. Alex., l. c., v. 18. 11 βραδύτερος ταῖς ἐπιβουλαῖς καὶ ἀργοτερ' τὰς πράξεις P, sed cf. p. 153, 14 et Paul. Alex., N, 4, v 12: ἀργοτέρους ταῖς πράξεσι καὶ ταῖς ἐπιβολαῖς. 14-17 cf. supra p. 153, 17-18. 14-15 Ἐπὶ δὲ — ὁ Ζεὺς] Ζεὺς ἐν τῷ ια' ἡμέρας τε καὶ νυκτὸς AV. 15 Post ἰσχυρότερος] καὶ θεὸς P quod ex καὶ θεῖα v. 16 ortum videtur. Leg. ἐπ' ὄχλων? cf. Firm., p. 107, 23 vel ἐχθρῶν? cf. Paul., l. c., v. 15: ἐπικρατεστέρους τῶν ἐχθρῶν. 16 γενήσεται V: γεννήσονται A: γεννωσ'. sic P. Expectes δηλώσει vel simile quid; cf. Firm., p. 108, 4: « cunctis hominibus divina documenta proferantur ». 16-17 καὶ τοῖς — ἀναπλάσσει om. AV: cf. Firm., p. 108, 5: « fortis corpore, validis ossibus ». 18-p. 173, 10 cf. Firm. Mat., III, 4, 33 et supra locum quintum, p. 153, 19 ss. 18 Ἐν δὲ — τυχὼν] Ἄρης ἐν τῷ ια' νυκτὸς AV. 19-p. 173, 1 τιμῆς — ἀστήρ] τιμωμένους (τιμωρουμένους V) καὶ γνωστοὺς μεγιστᾶσιν, ἐὰν δ' ᾖ AV; cf. Paul. Alex., l. c, v. 23-25 qui cum P conspirat.

Digitized by Microsoft®

παρ' ὑπερέχουσι γνωστούς. ἐὰν δὲ καὶ τύχῃ ὁ ἀστὴρ ἐν ἰδίοις ζῳδίοις ἢ δεκανοῖς ἢ μοίραις τῆς Σελήνης συμπαρούσης αὐτῷ, μεγάλους δυνάστας, φοβερούς, ἐπὶ στρατοπέδων ἢ μαχαίρας τασσομένους. τῆς Σελήνης ἀπούσης, ἐὰν ὁ τῆς Ἀφροδίτης παρῇ καὶ τρίγωνος ἢ τετράγωνος αὐτῷ τύχῃ, εὐδαίμονας ποιήσει καὶ περιεκτικοὺς ἐν ταῖς πράξεσιν καὶ ἐπαφροδίτους. ἡμέρας δὲ τυχὼν ἐπὶ τῶνδε τῶν τόπων καὶ τόπων μεταλλαγὰς καὶ ξενιτείας ποιεῖ χάριν τῶν συμβαινόντων αὐτοῖς ἀτοπημάτων· γίνονται δὲ καὶ ἐπὶ κινδύνοις οὐ τοῖς τυχοῦσιν· ἐὰν δὲ ὁ τοῦ Διὸς ἢ ὁ τῆς Ἀφροδίτης ἐπιθεωρήσῃ, ὠφελίμους τὰς ξενιτείας ποιεῖ καὶ πάλιν ἀποκαθισταμένους εἰς τὴν ἰδίαν διὰ τάχους ἀποδείκνυσιν.

Ἐν δὲ τῷ τοῦ Ἀγαθοῦ Δαίμονος ζῳδίῳ μόνος τυχὼν ὁ Ἥλιος εὐδαίμονας ἀποτελεῖ καὶ πατρὸς ἐνδόξου καὶ ἐπισήμου <γεννηθέντας> ποιήσει καὶ κατὰ πρόβασιν τῶν χρόνων ἐπὶ τὰς τύχας καὶ τὰς εὐδαιμονίας τρεπομένους.

Ἐν δὲ τῷ ἀγαθοδαιμονοῦντι <ζῳδίῳ> τυχοῦσα ἡ Ἀφροδίτη μάλιστα ἐπὶ τῆς ἑσπερίας φάσεως ὑπάρχουσα, κατοπτευομένη ἔτι πλέον ὑπὸ Κρόνου καὶ Ἄρεως ἢ ἀσπέρμους ἢ στειρώδεις ἢ δυσγάμους ἢ παιδεραστὰς ἢ καὶ γυναικῶν <σκηνικῶν ἐραστὰς> γεννήσει· μάλιστα δὲ καὶ ἐπὶ τῶν τροπικῶν ζῳδίων ὑπάρχουσα τελεῖ· ταῖς δὲ βιωτικαῖς κτήσεσι κατὰ πρόβασιν αὐξάνοντας, καὶ ἀπὸ φίλων προβιβαζομένους, ἐπιχαρεῖς τε καὶ εὐηθεῖς ἀποτελεῖ.

Ἐπὶ δὲ τῶν ἀγαθοδαιμονούντων ζῳδίων ἑσπέριος ἢ ἑῷος ἀνατολι-

1 ζῳδίοις P : τόποις AV. 2 ἢ μοίραις — αὐτῷ] συμπαρούσης σελήνης AV. ἢ μοίραις corr., cf p. 153, 21 : ἡμέρας P. 3 στρατοπέδοις AV. μαχαίρας P : μαχαίραις A : μάχαις V : « ius gladii » Firm., pp. 117, 26; 125, 2. 4 ἐὰν δὲ Ἀφροδίτη AV. καὶ AV : ἢ P. 5 τύχῃ om. AV. περιεκτικούς scripsi : περικτήτους AV : περιεκτήτους P : προσεκτικοὺς p. 153, 24. ἐν ταῖς πράξεσιν P : καὶ ἐμπράκτους AV. 6-10 ἡμέρας δὲ τυχὼν — τάχους ἀποδείκνυσιν] Ἄρης ἡμέρας ἐκεῖ ξενιτείας κινδυνώδεις· ἐὰν δὲ ὁ τοῦ Διὸς ἢ ὁ τῆς Ἀφροδίτης βλέψῃ, ἐπωφελεῖς τὰς ξενιτείας ποιεῖ AV. 6 τὸν δὲ τὸν τόπον P : corr. 7-8 cf. Paul. Alex., l. c., v. 20-23. ἀντιπτωμάτων Paulus. 9 ἐπιθεωρήσει P. 11-14 cf. Paul. Alex., l. c., v. 5 ss.; Firmic. Mat., III, 5, 38. 11-13 Ἥλιος ἐν τῷ ια' μόνος εὐδαίμονας καὶ τοὺς πατέρας ἐνδόξους καὶ ἐπισήμους καὶ κατὰ πρόβασιν τῶν ἐτῶν εὐτυχοῦντας AV. 11 ζῳδίῳ e corr. P. 12 γεννηθέντας suppl. ex Paulo. 14 An μᾶλλον τρεπομένους? cf. Firm. « augmenta felicitatis et dignitatis accipient ». 15-21 cf. Firmic. Mat., III, 6, 23. 15 Ἐν δὲ τῷ — Ἀφροδίτη] Ἀφροδίτη ἐν τῷ ια' AV. 15 ζῳδίῳ suppl. 16 τῆς om. AV. ὑπάρχουσα κατοπτευομένη ἐπὶ πλέον P : οὖσα ὁρωμένη AV. ἔτι corr. 17 cf. supra p. 151, v. 21. ἢ ... ἢ ... ἢ om. AV. 17-18 ἢ παιδεράστας — γεννήσει] ἀσελγεῖς cet. om. AV. σκηνικῶν ἐραστὰς suppl.; cf. Firm. « amatores ... mulierum scenicarum ». 18-19 δὲ καὶ om. AV. 19 τελεῖ ταῖς scripsi : τελεῖται P : ταῖς VP. 20 πρόβασιν P : ἀπόβασιν AV : « gradatim » Firm. αὐξάνοντας AV : αὐξανόντων P. An αὐξανομένους? Sed « crescentes » Firm. 21 ἐπίχαρις A : ἐπὶ χαριεῖς V. καὶ εὐηθεῖς om. AV. ποιεῖ AV. 22-p. 174, 11 Haec ex quinto loco, i. e. Bona Fortuna, p. 154, 5 ss. repetuntur. Diversa praebet Firmicus, III, 7, 23 22-p. 174, 1 Ἐπὶ δὲ — Ἑρμῆς] Ἑρμῆς ἐν τῷ ια' ἑσπέριος ἢ ἑῷος ἀνατολικός AV. 22 ἑσπέριος om. in loco quinto, recte ut videtur : « in matutino ortu » Firmicus, p. 158, 16. ἢ om. P.

Digitized by Microsoft®

κὸς τυχὼν Ἑρμῆς χρυσοῦ σωρευτὰς καὶ ἀγαθῶν ἐφευρετὰς ἢ καὶ ἀλλοτρίων χρημάτων ἡγεμόνας, ἡμιθέων τρόπους ἔχοντας γεννήσει· ἔσονται δὲ καὶ πολυχρόνιοι καὶ εὔτεκνοι· ἑσπέριος δὲ δυτικὸς ἐπὶ τῶνδε τῶν τόπων τυχὼν οὐ τηρητὴς γενήσεται οὐδὲ φύλαξ χρημάτων, ἀλλ' ἐξοδιαστὴς τῶν ἐν ἀποκρύφοις κειμένων. ποιήσει δὲ καὶ πραγματικοὺς ἢ ἐπὶ λογιστηρίων θεωρουμένους ἢ διδασκάλους ἢ γεωμέτρας <ἢ> ἀστρικοὺς ἢ ἀριθμῶν ἀστρικῶν <εὑρετὰς> ἢ παλαιστρικῶν ἡγεμόνας· ἐκδεχόμενος δὲ τὴν συναφὴν αὐξομένης Σελήνης λευκαῖς σπιλώσει τοὺς γεννωμένους ἢ εὐπαθητικοῖς νοσήμασιν περιτρέψει πρὸς τὴν τοῦ ζῳδίου φύσιν· μειουμένης δὲ τῆς Σελήνης ἀσχημονεστέροις σίνεσι περιβαλεῖ ἢ καὶ τὰς φρένας βλάψει.

Ἐν δὲ τοῖς ἀγαθοδαιμονοῦσι ζῳδίοις νυκτὸς τυχοῦσα ἡ Σελήνη πολυχαριεστάτη γενήσεται· ποιεῖ γὰρ ἡγεμόνας, ἐπιδόξους καὶ ἐπὶ προεδρίαις τεταγμένους καὶ ἀπὸ γονέων τὰ ἀγαθὰ παραλαμβάνοντας, ἐάνπερ ἀκαταμαρτύρητος τύχῃ ὑπὸ Κρόνου καὶ Ἄρεως· ἡμέρας δὲ ξενιτείας ἀποτελεῖ καὶ γονέων ἀλλοτριώσεις ἢ χωρισμοὺς ἢ ὀρφανίας προδηλοῖ· κατὰ δὲ πρόβασιν τοῦ χρόνου εὐδαίμονας γεννήσει.

νη'. Περὶ τῆς τῶν ἀπλανῶν ἀστέρων δυνάμεως[1].

Ἀναγκαῖον ᾠήθην καὶ τὴν τῶν ἀπλανῶν δύναμίν τε καὶ ἐνεργείαν

2 τρόπους ἔχοντας AV : τρόπον ἐπέχοντας P; cf. Firm., p. 158, 19 : « qui divinis moribus esse videantur ». γεννήσει corr. : γενήσ(ει?) P : om. AV. 3 ἔσονται δὲ om. AV. καὶ πολιχρονίους καὶ εὐτέκνους AV. δυτικὸς om. P; cf. 173, 22. 3-4 ἐπὶ τόνδε τὸν τόπον τυχὼν P : ἐν τῷ ια' AV. 4 τηρηταὶ γίνονται A : τηρευταὶ γίνονται V; cf. p. 154, 7. φύλακες AV. 5 ἐξοδιασταὶ AV; cf. p. 154, 8 σκορπιστής. τῶν ἐν ἀποκρύφοις κειμένων om. AV (ἐν ἀποκρύφῳ supra l. c.). ποιεῖ AV. 5-6 γραμματικοὺς AV sed m. 1 πραγ superscr. A; cf. p. 154, 9 7 ἢ suppl. ἀστρικοὺς pro ἀστρολόγους dicit : « astrologos » Firm. ἀριθμῶν ἀστρικῶν AV : ἀστρικῶν (om. ἀριθμῶν) P : « qui siderum cursum prudentia computationis inveniunt » Firm., unde εὑρετάς suppl. 8 σπιλοῖ AV. 9 τοὺς γεννωμένους om. AV. ἢ ὁ παθητικοῖς νοσήμασιν περιτρέψει P : εὐπαθεῖς ποιεῖ AV : « vitiosis valitudinibus implicabit » Firm. 10 μιγνυμένης AV. τὴν Σελήν(ην) P. ἀσχημονέστερον σύνεσι P. 11 περιβάλλει codd.: corr. βλάπτει AV. 12-17 Ad quintum locum se refert Firmicus, III, 13, 11 et revera Rhetorius hic repetit quae de luna in quinto loco (p. 154, 13 ss.) dixerat. 12-13 Ἐν δὲ τοῖς — γενήσεται] Σελήνη ἐν τῷ ια' νυκτὸς πολὺ ἀγαθή ἐστι AV. 14 προεδρίαις AV : προέδρους P. καὶ ἀπὸ — παραλαμβάνοντας om. AV. 15 ἐάνπερ — Κρόνου] ἀκάκωτος οὖσα ὑπὸ Κρόνου AV. καὶ Ἄρεως om. V. δὲ om. P. 16 ἀποτελεῖ om. AV. καὶ om. P. 17 προδιλεῖ P. κατὰ δὲ — γεννήσει] τοῦ δὲ χρόνου προβαίνοντος εὐδαιμονίας AV. 18 **P**(arisinus) 2425, f. 112ᵛ; cf. **An**(onymum) anni 379, *Catal.*, V, 1, p. 198, 12 ss. Lectiones praecipuas tantum adnotavimus excerptoris Byzantini (= **B**) cum textus eius totus iam *Catal.*, V, 1, p. 219 legi possit. Conferendum est caput Rhetorii (= **R**) *Catal.*, VII, p. 194 editum. 19 τὰς τ. ἀ. δυνάμεις B. ἐνεργείας B.

[1] Longitudines stellarum eaedem sunt, si numeros quosdam corruptos exceperis, quae in capitulo Rhetorii de signis zodiaci traduntur (*Catal.*, VII, p. 195) et

Digitized by Microsoft®

καθυποτάξαι, ὡς πολλὰ δύνανται ἰσομοιροῦντες τοῖς κέντροις καὶ τοῖς πλάνησι· ξένας γὰρ καὶ παραδόξους γενέσεις παρασκευάζειν εἰώθασιν, ὥς φησιν ὁ πολυΐστωρ Ἰουλιανὸς ἐν τοῖς αὐτοῦ ἀποτελέσμασιν. οἳ δέ εἰσιν οὗτοι.

Ὁ Στάχυς Ζύγου μοίρᾳ οὐδὲν κ' βόρειος, μεγέθους πρώτου, κράσεως Ἀφροδίτης καὶ Ἑρμοῦ.

Ὁ λαμπρὸς τῆς Λύρας Τοξότου μοίρας κα' μεγέθους πρώτου, κράσεως Ἀφροδίτης καὶ Ἑρμοῦ.

<Ὁ ἐπὶ τοῦ στόματος τοῦ μεγάλου Ἰχθύος Ὑδροχόου μοίρας ιβ νότιος, μεγέθους α', κράσεως Ἀφροδίτης καὶ Ἑρμοῦ.>

Ὁ λαμπρὸς τοῦ Ὄρνιθος Ὑδροχόου ιβ' <ν'>, βόρειος, μεγέθους πρώτου κράσεως Ἀφροδίτης καὶ Ἑρμοῦ.

Ὁ λαμπρὸς τοῦ βορείου Στεφάνου Ζυγοῦ μοίρας ιε' κ', βόρειος, μεγέθους πρώτου, κράσεως Ἀφροδίτης καὶ Ἑρμοῦ.

Οὗτοι οἱ ἀστέρες ἰσομοίρως ὡροσκοποῦντες ἢ μεσουρανοῦντες ποιοῦσι τοὺς οὕτω γεννωμένους οὐ μόνον περιφανεῖς καὶ εὐπόρους καὶ ἐνδόξους ἀλλὰ καὶ πολυμαθεῖς καὶ ἐμφιλοσόφους καὶ λογίους καὶ ποιητικοὺς καὶ ἐπιστημονικοὺς καὶ εὐφυεῖς καὶ φιλομούσους καὶ φιλοτέχνους καὶ χρηστοηθεῖς καὶ ἀπολαυστικοὺς καὶ τρυφεροδιαίτους καὶ

2 πλανήταις B. γὰρ B : δὲ P. περιδόξους B. 3 ὥς φησιν ὁ πολυΐστωρ Ἰουλιανὸς — ἀποτελέσμασιν om P ; cf infra n. 5-6 Ὁ Στάχυς παρανατέλλει τῇ κθ' μοίρᾳ τῆς Παρθένου τοῦ Ζυγοῦ δ' ι', νότιος β' ο', μεγέθους α', κράσεως Ἀφροδίτης Ἑρμοῦ ac sic deinceps de ceteris astris B. 5 ζυγῷ P. μοίρᾳ οὐδὲν καὶ P ; correxi (vide infra adnotationem). 9-10 Ὁ ἐπὶ τοῦ στόματος — Ἑρμοῦ errore omisit P ; cf. An., p. 198, 16 ; R, p. 210, 16. 11 ιβ' vel ιη' P. ν' suppl. ex R. βόρειος B : νότιος P. πρώτου] β' B. 13 ὁ βορειος Στεφάνου B. 14 πρώτου] β' B. 15 οἱ om. P. οὗτοι οἱ ἀπλανεῖς ἀστ. B. μεσουρανοῦντες B : μαρτυροῦντες P. 16 γεννομένους P. 17 φιλοσόφους B. καὶ om. P. 18-19 φιλοτέχνους An. : φιλοτέκνους PB. 19 καὶ ἀπολαυστικούς om. P. τρυφηλούς B.

---

cum 3° 40' a Ptolemaei notationibus differant, in annum circiter 505 p. C. n. competunt. Quae hic de stellis fixis proferuntur, ex astrologo anonymo anni 379 (*Catal.*, V, 1, p. 198 ss.) fluxerunt, sed utrum ex eo Rhetorius ipse hauserit an ex Iuliano Laodicensi, qui anonymum illum scriptorem adhibuerit, olim dubitavi cum de ea quaestione fusius disputarem in ***Mél. Éc. franç. de Rome***, 1918, p. 46. Attamen cum ubique codex P nomina auctorum suppresserit (p. 116), hic quoque putandum est idem accidisse, et Iuliani mentionem (p. 175, v. 3) excerptorem Byzantinum ex ipso Rhetorio exscripsisse. Cf. infra p. 190, vv. 6 ss. et n. 1. — Quamvis nil novi praebeat hoc caput Rhetorii, cum fons eius servatus sit, tamen edendum mihi videbatur, quia codicum nostrorum auctoritas hinc maxime perspicua fit. Nam etsi Rhetorii textus in excerpto Byzantino saepe consulto decurtatus vel immutatus est, tamen librarius codicis P tanta neglegentia vel potius ignorantia exemplar suum descripsit ut multa non solum rectius sed etiam plenius apud epitomatorem inveniantur. — Cur bini planetae in hoc capitulo ad XXX lucidas stellas relati sint enucleate explicavit Fr. Boll, ***Antike Beobacht. farbiger Sterne*** (***Abhandl. Ak. Wiss. München***, XXX, 1918, p. 71 ss.).

Digitized by Microsoft®

εὐφροσύνους, συνετούς τε καὶ διανοητικοὺς καὶ εὐεπιβόλους καὶ κατορθωτικοὺς καὶ σχεδὸν αὐτοδιδάκτους καὶ καθολικῶς διὰ λόγων ἀρετὴν ἤτοι φρονήσει δοξαζομένους, ζηλωτὰς τῶν ἀρετῶν, εὐστόμους, ἐπιχάρεις τῷ λόγῳ καὶ ἐρασμίους καὶ εὐαρμόστους τοῖς ἤθεσι, σπουδαίους, κριτικούς, μεγαλόφρονας, ἐνιότε καὶ πολυκοίνους, εὐκινήτους περὶ τὰ ἀφροδίσια ἐάνπερ καὶ ὁ Ἄρης ἀνατωλικὸς ὢν ὑπέργειος ἐπιθεωρήσῃ ἕνα αὐτῶν ὡρονομοῦντα· ἐὰν δὲ ἐπιθεωρήσῃ ἐπίκεντρος ὁ Ἄρης καὶ πράγμασι περιπλέκονται γραπτῶν χάριν ἢ ἐπιθυμιῶν τινων, ἐὰν μάλιστα οὕτως ὢν Ἄρης πρὸς Ἥλιον ὡρονομήσῃ· ἐὰν δὲ ἐν τῷ ὑπογείῳ τόπῳ εὑρεθῶσι ἥ τε Ἀφροδίτη καὶ ὁ Ἄρης ἑνὸς τούτων ὡρονομοῦντος ἢ καὶ <ἐν> τῷ δυτικῷ κέντρῳ, ἐκ τῶν ἐναντίων σωφρόνας ποιοῦσι καὶ θεοσεβεῖς ἢ ἐνεργεῖν <μὴ> δυναμένους ἐν τοῖς ἀφροδισίοις ἢ σπανοτέκνους ἢ θηλυγόνους· μεγάλη γὰρ διαφορὰ γίνεται ἐκ τῆς πρὸς τὰ κέντρα σχέσεως τῆς Ἀφροδίτης καὶ τοῦ Ἄρεως. ἐὰν <Κρόνος> ἐπίδῃ τινὰ αὐτῶν τῶν ε′ λαμπρῶν ἀστέρων ὡρονομοῦντα, ἰατρικῆς ἔμπειροι γίνονται καὶ προγνῶσται, ἀποκρύφων βίβλων καὶ τελετῶν πολυΐστορες. ἐὰν δὲ Ζεὺς ἐπιθεωρήσῃ ὡρονομοῦντα ἕνα ὧν προεῖπον λαμπρῶν ἀστέρων μείζονας τὰς εὐτυχίας καὶ τὰς δόξας καὶ τὰς ἀρχὰς καὶ τὰς ἡγεμονίας παρέχεται. καὶ ἐν αὐτοῖς δὲ τούτοις διαφορὰν ἄλλην εὑρήσομεν· ἐὰν γὰρ ὡροσκοπῇ ἢ μεσουρανῇ ὁ τοῦ Στάχυος ἀστήρ, ποιεῖ ἱεροφάντας, ἱερεῖς μεγαλοτίμους ἢ φιλοσόφους ἢ τελετῶν τινων προφήτας καὶ μάλιστα τοὺς περὶ τὴν Ἑλλάδα γεννωμένους· ἐπὶ θηλυκῶν δὲ γενέσεων οὕτως εὑρεθεὶς ποιεῖ ἱερείας ἢ ἱεροφαντίδας ἢ καὶ μυστηρίων καὶ τελετῶν εἰδήμονας καὶ τελεσμάτων τινῶν ἀπεχομένους καὶ διὰ θεῶν μεγάλως βοηθουμένους. ἐὰν δὲ ὡροσκοπῇ ἢ μεσουρανῇ ὁ τοῦ βορείου Στεφάνου, ποιεῖ ἐνδόξους στεφανηφόρους, ἀρχιερεῖς, βασιλέων φίλους καὶ τῷ

1 καὶ ante εὐεπιβ. om. P. εὐεπιβούλους P; cf. p. 177, 19. 3 ἤτοι φρονήσει om. B. τῶν om. B. 4 ἐπιχάρης P. τοῖς ἤθεσι om. B. 6 περὶ bis repet. P. 7 ἐπιθεωρήσει P, qui deinde add. ἐν ὡροσκόπῳ· ἐὰν δὲ ἐπιθεωρήσει. 8 πράγμασι P et An., p. 199, 1 : γράμμασι B. 9 οὗτος P. 9-11 ἐὰν δὲ — κέντρῳ] ἐὰν δὲ ἐν τῷ δ′ τύχῃ Ἄρης ἢ Ἀφροδίτη ἢ τῷ ζ′ ἑνὸς τούτων ὡροσκοποῦντος B. ἐν suppl. ex An. 12 ποιοῦσι καὶ om. B. 12-13 ἐνεργεῖν ἀδυνάτους ἐν τοῖς ἀφροδισίοις B : ἐνεργῶς δυναμένους είς τά ἀφροδίσια P : corr. ex An. 13 θηλυγονίους P : θηλυτέκνους B. γάρ B : δὲ P. 14 ἀπὸ τῶν κέντρων B. 15 Κρόνος suppl. ex An. λαμπρῶν ἀστέρων P : ἀπλανῶν B. 15-16 ὡροσκοποῦντα P. 16 ἔμπειρος γίνεται καὶ προγνώστης P. 17 βίβλων om P. 18 ὡροσκοποῦντα P. ὧν — ἀστέρων] τῶν ε′ B. μόνας B. 19 καὶ τὰς ἡγεμονίας om. B. 20 διαφορὰ ἄλην sic P. γάρ B : δὲ P. 21 ἀστὴρ ποιεῖ om. B. 23 Ἑλλάδα] Graecia Virgini tribuitur (Bouché-Leclercq, p. 332). γενομένους P. οὗτος B. 24 ποιεῖ om. B. ἢ ἱεροφαντίδας om. P. τελεστικῶν B. 25 καὶ τελ. τιν. ἀπεχομένους om. B. τελεσμάτων] Leg. ἐδεσμάτων, sed iam tempore Rhetorii verbum corruptum fuisse videtur (cf. An., p. 199, 19). ἀπερχωμένους sic P. Leg. ἀπεχομένας et βοηθουμένας sed cf. cod. An., p. 199, 19, 20. μεγάλους P. 26 ὁ βόρειος Στέφανος sine ποιεῖ B. 27 εὐδόξους B.

Digitized by Microsoft®

σώματι ἰσχυροὺς καὶ ὀνομαστοὺς γιγνομένους, παρὰ πολλῶν φιλουμένους. ἐὰν δὲ ὡροσκοπῇ ὁ τοῦ νοτίου Ἰχθύος, σπανοτέκνους ποιεῖ ἢ βραδυτέκνους ἢ θηλυγόνους ἢ ἀτέκνους, λογίους δὲ πάνυ καὶ μᾶλλον εὐειδεῖς.

Πάλιν <ἡ> Καρδία Λέοντος, <Λέοντος> μοίρας ϛ' ι', βόρειος, μεγέθους πρώτου, κράσεως Διὸς καὶ Ἄρεως.

<Ὁ Ἀρκτοῦρος, Ζυγοῦ μοίρας ε' μ', βόρειος, μεγέθους πρώτου, κράσεως Διὸς καὶ Ἄρεως.

Ὁ λαμπρὸς τοῦ Ἀετοῦ, Αἰγόκερω μοίρας ζ' μ', βόρειος, μεγέθους πρώτου, κράσεως Διὸς καὶ Ἄρεως.

Ὁ Ἀντάρης, Σκορπίου ιϛ' κ', νότιος, μεγέθους δευτέρου, κράσεως Διὸς καὶ Ἄρεως>.

Ὁ Κύων, Διδύμων κα' κ', νότιος, μεγέθους πρώτου, κράσεως Διὸς καὶ Ἄρεως.

Οὗτοι οἱ ἀστέρες ἰσομοίρως ὡροσκοποῦντες ἢ μεσουρανοῦντες ποιοῦσιν ἐνδόξους στρατηγικούς, χώρας καὶ πόλεις καὶ ἔθνη ὑποτάσσοντας καὶ διοικοῦντας, καὶ φοβεροὺς ἀνθρώπους καὶ ἡγεμόνας καὶ στρατηλάτας, διοικητικούς, κεκινημένους, ἀνυποτάκτους, παρρησιαστικούς, φιλονείκους, ἀνυστικούς, εὐεπιβόλους, ἐπάνδρους, νικητικούς, πολυκτήμονας πάνυ καὶ ἄγαν πλουσίους, μεγαλοψύχους καὶ φιλοτίμους, φιλοκάλους, οὐ πάντως δὲ καλῷ τέλει τελευτῶντας.

Πάλιν ὁ τοῦ ἀριστέρου ἀκρόποδος Ὠρίωνος, Ταύρου κγ' λ', νότιος, μεγέθους β', κράσεως Διὸς καὶ Κρόνου.

Ὁ μέσος τῶν τριῶν τῆς Ζώνης τοῦ Ὠρίωνος, Διδύμων μοῖραν μίαν, νότιος, μεγέθους β', κράσεως Διὸς καὶ Κρόνου.

Ὁ ἐπὶ τοῦ δεξιοῦ ὤμου τοῦ Ἡνιόχου, Διδύμων μοίρας ϛ' λ', βόρειος, μεγέθους β', κράσεως Διὸς καὶ Κρόνου.

Ὁ ἐπὶ τοῦ γόνατος τοῦ Τοξότου, Τοξότου κ' μ', νότιος, μεγέθους β', κράσεως Διὸς καὶ Κρόνου.

Ὁ τῆς Γοργόνης, Ταύρου μοίρας γ' κ', βόρειος, μεγέθους β', κράσεως Διὸς καὶ Κρόνου.

Ὁ τῆς Αἰγός, Ταύρου μοίρας κη' μ', βόρειος, μεγέθους πρώτου, κράσεως Διὸς καὶ Κρόνου.

Οὗτοι ἰσομοίρως ὡροσκοποῦντες ἢ μεσουρανοῦντες ποιοῦσι τοὺς οὕτως ἔχοντας πολυκτήμονας καὶ πλουσίους ἄγαν καὶ εἰς διαφό-

1-2 παρὰ πολλῶν φιλουμένους P : πολυφίλους B. 2 ὁ νότιος Ἰχθύς B. ποιεῖ om. B. 5 ιβ' R. 7-12 Ὁ Ἀρκτοῦρος — Ἄρεως om. P. Suppl. ex An., p. 199, 23 ss. et R, p. 204, 21 ; 209, 3. 16 χώρας καὶ πόλεις καὶ om. B. 17 καὶ διοικοῦντας om. B. ἀνθρώπους καὶ om. B. Leg. ἀνθρώποις? ἡγεμονικοὺς B. 18 κεκινημένους] καὶ κυνημένους P. 19 φιλονείκους] φισινοίκους sic P. 21 καλῷ τέλει τελευτῶντας P An. ; cf. p. 179, 23 : εὐθανατοῦντας B. 22 πάλιν om. P. κγ' λ' P : κγ' R. 23 β'] Leg. α'? 28 κ' μ'] κ' R. 30 κ'] Leg. μ'. 34-35 τοὺς οὕτως ἔχ. πολυκτήμονας καὶ om. B. 35-p. 178, 1 ἐν διαφόροις τόποις κτωμένους B. διαφόρας P.

Digitized by Microsoft®

ρους χώρας καὶ πόλεις κτωμένους καὶ φιλογεώργους καὶ φιλοικοδόμους· εἰ καὶ ἡ Σελήνη ἐπιθεωρήσῃ ἕνα ὧν εἶπον ἀστέρων ὡροσκοποῦντα ἢ μεσουρανοῦντα, τούσδε τοῖς τρόποις ἀγαθοὺς καὶ τιμητικοὺς τῶν πρεσβυτέρων καθεστῶτας, καλογνώμονας, μεταδοτικούς, ἀνεξικάκους, σώφρονας, φιλοικείους· ἰδίως δὲ πάλιν ἐκ τούτων ὁ μὲν ἐπὶ τοῦ γόνατος τοῦ Τοξότου καὶ ὁ ἐπὶ τοῦ δεξιοῦ ὤμου τοῦ Ἡνιόχου, ἐὰν ὡροσκοποῦντες ἢ μεσουρανοῦντες κατὰ κάθετον τύχωσι, τετραπόδων ἢ καὶ ἡνιόχων ἐργάτας ἢ καὶ αὐτοὺς περὶ ἱππολοχείαν ἢ ἡνιοχικὴν ἔχοντας.

Πάλιν ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομένου Διδύμου, Καρκίνου λεπτὰ κʹ, βόρειος, μεγέθους βʹ, κράσεως Ἄρεως μόνου.

Ἐὰν οὗτος τύχῃ ὡροσκοπῶν ἢ μεσουρανῶν ἐπὶ γενέσεως καὶ μάλιστα νυκτός, ποιεῖ ἀρχικούς, δεινούς, δράστας, παραβόλους ἢ ἀνυποτάκτους, θυμικούς, αὐθάδεις, τυραννικούς, πολέμων προϊσταμένους, ἐνδόξους καὶ μεγάλους· ἡμερινῆς ἐπὶ γενέσεως ὡροσκοπῶν ποιήσει ὑβρίστας, ὠμούς, ἀνελεήμονας, προπετεῖς, ἅρπαγας, τεταραγμένους μεθύσους· ἐὰν δὲ μεσουρανῇ, λογίους μὲν πάνυ ποιεῖ καὶ φίλους βασιλέων ἢ τυράννων, οὐ καλῷ δὲ τέλει πάντως ἀπολλυμένους.

Πάλιν ὁ ἐπὶ τῆς ἀριστέρας χηλῆς τοῦ Σκορπίου, Ζυγοῦ μοίρας κεʹ γʹ, βόρειος, μεγέθους δευτέρου, κράσεως Διὸς καὶ Ἑρμοῦ.

Ὁ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου Διδύμου, Διδύμων μοίρας κζʹ, βόρειος, μεγέθους δευτέρου, κράσεως Διὸς καὶ Ἑρμοῦ.

Ἐὰν οὗτοι τύχωσι ὡροσκοποῦντες ἢ μεσουρανοῦντες, ποιοῦσι φιλολόγους, πολυΐστορας, δημηγορικούς, φιλομούσους, ποιητικούς, φιλοκάλους, εὐεπιβόλους, εὐφυεῖς, πολυπράκτους, ἀξιωματικούς, εὐσεβεῖς, φιλοθέους, εὐχρηματίστους, πολυγνώστους ἢ καὶ ἀπὸ δοσοληψίας εὐτυχοῦντας μεγάλως χρυσοῦ τε καὶ ἀργύρου καὶ τῶν τοιούτων καὶ πρὸς τὰς συμπεριφορὰς ἐλευθεριωτέρους καὶ μάλιστα ἐπὶ ἡμερινῆς

2 εἰ μὴ καὶ B. 2-3 ἐπιθεωρήσῃ — ἀγαθούς] οὕτως ὄντας ἐπιθεωροίη ποθὲν αὐτούς, ἀγαθοὺς δὲ τοῖς τρόποις B. 2 ἐπιθεωρείσει P. τοῖσδε P. Leg. <ποιοῦσι> τούσδε? 4 καθεστῶτας καλογνώμονας om. B. 7 ἐὰν ὡροσκ. — τύχωσι om. B. 8 ἐργάτας vix sanum (ἐραστάς coni. Kroll), iam tempore Rhetorii apud An. legebatur (p. 200, 30). 8-9 περὶ ὑπολυχέαν οἰνωοχεικὴν ἔχωντας P; dubitanter corr : ἱππηλασίας ἢ καὶ ἡνιοχικήν An.: ἱππηλάτας ἢ ἡνιόχους B. 12 οὗτος om. P. ἐπὶ γνώσεως P : om. B. 13 ἀρθηκούς sic P. 14 πολέμων] Leg. πόλεων? cf. supra p. 135, 18. 15 ἡμερινῆς ἐπὶ (dubium) τῆς γενέσεως P : ἡμέρας δὲ B; cf. infra v. 28. 16 ὑμβριστάς P. τεταγμένους P. 17 μεσουρανῶν δὲ B. ποιεῖ om. B. 17-18 φίλους βασιλέων ἢ τυράννων P (quod est in An. restituendum p. 201, 7) : φίλους ἐλεῶν B. 21 διδύμου διδύμου P. 23 ὡροσκοπῶσιν (sine τυχ.) ἢ μεσουράνῶσιν B. 23-24 φιλοσόφους B. 24 ποιητικούς om. P. 24-25 φιλοκάλλους sic P : φιλόχλους B (perperam apud An., p. 201, 15 restit.). 26 ἢ καὶ om. B. δωσωληψίας P : δωροδοκίας B (δοσοληψίας male apud An. p. 201, 15 correxi). 27 καὶ τῶν τοιούτων om. B. 28 συμφορὰς B et An. 29-p. 179, 1 ἐπὶ ἡμέρας. ἐπὶ γὰρ νυκτὸς ὡροσκ. B.

Digitized by Microsoft®

γενέσεως· ἐπὶ γὰρ τῶν νυκτὸς γινομένων ὡροσκοποῦντες ποιοῦσι δοξοσόφους, ἀλαζονικούς, ἐπιτηδευματικούς, ὑποκρινομένους, πολυΐστορας δὲ καὶ μνημονικοὺς καὶ διδασκάλους καὶ καθαροὺς ἐν ταῖς ἐπιθυμίαις.

Πάλιν ὁ ἐν τῷ ἡγουμένῳ ὤμῳ τοῦ Ὠρίωνος, Ταύρου μοίρας κζ, μ', νότιος, μεγέθους δευτέρου, κράσεως Ἄρεως καὶ Ἑρμοῦ.

Ὁ Προκύων, μοίρας τρεῖς δ' α' Καρκίνου, μεγέθους α', κράσεως Ἄρεως καὶ Ἑρμοῦ.

Ὁ ἐν τῷ δεξιῷ ὤμῳ τοῦ Ὠρίωνος, Διδύμων μοίρας ε' μ', νότιος, μεγέθους α', κράσεως Ἄρεως καὶ Ἑρμοῦ.

Ὁ κοινὸς Ἵππου καὶ Ἀνδρομέδας, Ἰχθύων μοίρας κα' λ', βόρειος, μεγέθους β', κράσεως Ἄρεως καὶ Ἑρμοῦ.

Ἵππου ὦμος, Ἰχθύων μοίρας ε' ν', βόρειος, μεγέθους β', κράσεως Ἄρεως καὶ Ἑρμοῦ.

Οἱ τοιοῦτοι ἀστέρες πάλιν ἰσομοίρως ὡροσκοποῦντες ἢ μεσουρανοῦντες, μάλιστα ἐπὶ νυκτερινῆς γενέσεως ποιοῦσι στρατηγικούς, δεινούς, δράστας, πολυτρόπους, σοφιστικούς, πολυπράγμονας, λογίους, ἀπαρεγκλίτας, ὀξυφώνους, ἐξαπατήτας, ἐπιτευκτικούς, ὀξεῖς δὲ ἅμα καὶ ἀπροσκορεῖς πρὸς τὰς ἐπιθυμίας, διαφθορεῖς ὄντας ἀθῴων καὶ παρθένων, ἐπιόρκους. ἐπὶ δὲ ἡμερινῆς γενέσεως ὡροσκοποῦντες ποιοῦσι τολμηρούς, ὠμούς, μεταμελητικούς, ψεύστας, κλέπτας, ἀθέους, ἀφίλους, ἐπιθέτας, θεατροκόπους, ἐφυβρίστας, μιαιφόνους, πλαστογράφους, γόητας, ἀνδροφόνους, οὐ καλῷ τέλει ἐνίοτε χρωμένους μάλιστα, ὡς προείπομεν, ἐπὶ ἡμερινῆς γενέσεως.

Πάλιν ὁ ἐπὶ τοῦ δεξιοῦ ποδὸς τοῦ Κενταύρου, Σκορπίου μοίρας ιβ', νότιος, μεγέθους α', κράσεως Ἀφροδίτης καὶ Διός.

<Ὁ> ἔσχατος τοῦ Ποταμοῦ, Κριοῦ μοίρας γ' ν', νότιος, μεγέθους α', κράσεως Ἀφροδίτης καὶ Διός.

Καὶ οὗτοι πάλιν ἰσομοίρως ὡροσκοποῦντες ἢ μεσουρανοῦντες ποιοῦσι καθαρίους, ἀπολαυστικούς, φιλοκάλους, φιλομούσους, φιλοθέους, φιλοδώρους, φρονίμους, φιληκόους, καλοσυμβούλους, ἐν τῷ σεμνῷ μεγαλοψύχους, εὐγνώμονας, εὐσχήμονας πρὸς τὰ ἀφροδίσια ἢ

2 δοξοσόφους ἀλαζονικούς B : σοφοάλλεζωνικούς sic P. 5 ὁ om. P. 7 τρεῖς δ' α' P. Legendum λ(επτὰ) δέκα? 11 κα' λ' P : κα' R. 15 καὶ οὗτοι πάλιν B. 16 καὶ τῆς νυκτερινῆς γενέσεως P : δὲ νυκτός B ; corr., cf. v. 20. στρατηγούς P. 18 ἀπαρεγκλήτας P : om. B. An. ὀξὺς P. 19 ἀπροσκορεῖς B : πρὸς κωρῆς P. 19-20 διαφθήρωντας ἀθώων καὶ παρθένων sic P : ἀσελγεῖς B : διαφθ. ὄντας corr. ex An. 20 ἐπὶ δὲ ἡμερινῆς γενέσεως ὡροσκοποῦντες P : εἰ δὲ ὡροσκοποῦσιν B. 22 ἀφίλους B : ἀφύλλους P. ἐφυμβριστάς P : ἐφυβρίστους B. 23 γόητας om. P. ἀνδροφώνους P : om. B. 23-24 οὐ καλῷ — γενέσεως] βιοθανάτους πολλάκις cet. om. B. 24 ἡμερινῆς apud An. p. 202, 8 scribendum. 25 ιβ' P : ια' vel ιβ' R. 27 νοτίου P. 30 ἀπολαυστικούς om. P. 30-31 φιλοθέους φιλοδώρους φρονίμους om. P. 31-32 ἐν τῷ σεμνῷ om. P. 32 ἢ om. B.

Digitized by Microsoft®

καὶ ἀπὸ γυναικείων προσώπων ὠφελουμένους, μεγάλους τε καὶ ἀγαθούς, ξανθοτρίχας δὲ μᾶλλον καὶ εὐειδεῖς, ἁπαλοσώμους, μάλιστα δὲ ἐὰν τὴν Σελήνην ἐπιθεωρήσωσιν.

Πάλιν οὐρὰ Λέοντος, Λέοντος μοίρας κη' ι', βόρειος, μεγέθους α', κράσεως Κρόνου καὶ Ἀφροδίτης.

Ὁ ἐπὶ τῆς ὀσφύος τοῦ Λέοντος, Λέοντος μοίρας ιζ' η', βόρειος, μεγέθους α', κράσεως Κρόνου καὶ Ἀφροδίτης.

Ὕδρου αὐχήν, Λέοντος μοίρας γ' μ', νότιος, μεγέθους β', κράσεως Κρόνου καὶ Ἀφροδίτης.

Καὶ οὗτοι πάλιν ὡροσκοποῦντες ἢ μεσουρανοῦντες ποιοῦσιν εὐτυχεῖς μὲν καὶ περικτήμονας καὶ περιφανεστάτους, ἐμπαθεῖς δὲ καὶ αἰσχροποιοὺς καὶ μαλακολάλους ἢ καὶ φιλορχηστὰς καὶ κακοφήμους δὲ περὶ τὰ ἀφροδίσια, προβαίνοντας δὲ τῇ ἡλικίᾳ ἱερωσυνῶν τινων μεταλαμβάνοντας, διὰ θρησκείαν τινὰ θεϊκὴν ἢ ἐγκράτειαν τιμωμένους καὶ ἐδεσμάτων τινῶν ἀπεχομένους. καὶ βιβλίων τέ τινων ἀπορρήτων εἰδήμονες γίνονται καὶ περὶ τὰ οὐράνια φιλόκαλοι, τοὺς δὲ ὀφθαλμοὺς μᾶλλον ὑπογλαύκους ἢ χαροποὺς ἔχοντες, εὐειδεῖς δὲ ταῖς ὄψεσιν.

Ὁ λαμπρὸς τῶν Ὑάδων ἀνατέλλων ἐπὶ τῆς ἀποκυητικῆς ὥρας κείμενος ἐν τῷ ζῳδιακῷ κύκλῳ Ταύρου μοίρας ις' κ', κράσεως Ἄρεως καὶ Ἀφροδίτης, ποιεῖ εὐτυχεῖς μὲν ἄγαν καὶ πλουσίους καὶ χώρας καὶ πόλεις καὶ ἔθνη ὑποτάσσοντας ἢ διοικοῦντας· ὥσπερ γὰρ αὐτὸ τὸ ἄστρον καὶ ἡ θέσις τῶν Ὑάδων ὅλῳ τῷ κόσμῳ καὶ πᾶσιν ἀνθρώποις εὐεπίγνωστόν ἐστιν ἢ καὶ μᾶλλον φανερώτερον ὑπάρχει, οὕτως οἱ γεννώμενοι ἀνατέλλοντος ἢ μεσουρανοῦντος τοῦ λαμπροῦ τῶν Ὑάδων ἐνδοξότατοι καὶ περιφανέστεροι καὶ πλουσιώτεροι τῶν ἄλλων ἀνθρώπων γίνονται. τὰ αὐτὰ δὲ ποιεῖ καὶ ὅταν ἰσομοιρήσῃ ἢ παρανατείλῃ τῇ Σελήνῃ, μάλιστα ἐπειδὴ οὗτος μόνος ὁ ἀστὴρ σχεδὸν διπλῆν δύναμιν ἔχει τῶν ἄλλων ἀστέρων. ἀνατέλλοντος γὰρ αὐτοῦ δύνει ὁ λαμπρὸς τοῦ Ἀντάρεος κατ' ἰσομοιρίαν αὐτοῦ κειμένος Σκορπίου μοίρας ις' κ' καὶ ἀμφότεροι ἐν αὐτῷ τῷ ζῳδιακῷ κύκλῳ εἰσίν. οὕτως μὲν οὖν καὶ περὶ τὰ

1 ὠφελουμένους om. P. 1-2 τε καὶ ἀγαθοὺς om. B. 2 δὲ et καὶ om. B. ἁπα(λλω)σώμους (λλω superscr.) P. 4 κη' ιβ' B. 6 Leg. ιζ' ν'. 10 καὶ et πάλιν om. P. 12 μαλακρολάλλους P : μαλακοὺς B. φιλοκτίστας καὶ κακολίμους P. 13 ἱεροτάτων P. 14 μεταλαμβάνουσιν B. τιναν P. τιμώμενοι B. 15 βίβλων P. τε om. B. 17 μᾶλλον B An. : μεγάλους P. ἔχοντας P. δὲ P : εἰσι B. 18-20 Mutavit B (p. 225, 1-2). 18 ἀνατέλει ἀπὸ τῆς ποιητικῆς ὥρας P; corr. ex An. 20-21 καὶ πόλεις καὶ ἔθνη om. B. 22 ὅλῳ τῷ κόσμῳ om. B. ὅλη P. 23 ἢ καὶ μᾶλλον φανερώτερον ὑπάρχει om. B. οὗτοι ἡ (sic) γενόμενοι P : ἐκεῖνοι B. 24-25 ἀνατέλλοντος — ἐνδοξότατοι καὶ om. B. 25 καὶ (alt.) om. P. ἀνθρώπων om. B. 26 ἰσομοιρήσει P. παρανατέλει P. 28-29 ὁ Ἀντάρης B. 29 κατ' ἰσομοιρίαν — μοίρας ις' κ' om. B. οἰσσομοιρίαν P. 29-30 ἄμφω B. 30 κύκλω εἰσίν P : κεῖνται B. 30-p. 181, 2 οὕτως μὲν οὖν — δύνανται] διὰ τοῦτο συμπερίδοξοι οἱ οὕτως γεννώμενοι ἔν τε τοῖς ἐῴοις καὶ ἑσπερίοις κλίμασι τῆς γῆς B.

Digitized by Microsoft®

δυτικὰ μέρη τῆς οἰκουμένης καὶ περὶ τὰ ἀνατολικὰ καὶ <περὶ> τὰ ἄλλα κλίματα δοξάζονται καὶ μέγα δύνανται. αὐτὸς δὲ ὁ τοῦ Ἀντάρεως κατ' αὐτὸ τὸ κέντρον <τὸ> δῦνον γαμοστολικῷ τόπῳ εὑρισκόμενος ποιεῖ, καθὼς προείπομεν, διὰ γυναικείων προσώπων μεγάλας εὐτυχίας καὶ κληρονομίας· καὶ γὰρ αἱ γυναῖκες τῶν οὕτως γεννωμένων περίβλεπτοι μὲν καὶ πάνυ πλούσιαι γίνονται, οὐ πολυχρόνιοι δέ, ἐπειδὴ οὗτος ὁ Ἀντάρης εὐθέως δύνει, ὡς προείπομεν, ἐν τῷ γαμοστολικῷ τόπῳ εὑρισκόμενος. ὁ δὲ λαμπρὸς τῶν Ὑάδων ὡροσκοπῶν καὶ ἔχων τὸ ποιητικὸν τῆς τοῦ Ἄρεως καὶ Ἀφροδίτης ἐνεργείας ποιεῖ τοὺς οὕτω γεννωμένους περιθύμους καὶ θερμοὺς πάνυ περὶ τὰς ἐπιθυμίας καὶ ἀδιαφόρους περὶ τὰ ἀφροδίσια. φύσει γὰρ αὐτὸς ὁ τόπος τῶν Ὑάδων ἀνατέλλων ἤτοι οὗτος ὡροσκοπῶν ἀπὸ μοίρας ιβ' κ' ἕως ις' κ' ἐμπαθεῖς περὶ τὰς ἡδονὰς ποιεῖ καὶ ἐπισήμους μᾶλλον καὶ εὐειδεῖς καὶ καλοτραχήλους.

Ἰδικῶς δὲ καί τινα ζῴδια καὶ ἀστέρες τῶν ἀπλανῶν ἐν τῷ περὶ θεῶν τόπῳ καὶ ἐν τῷ ὑπογείῳ μοιρικῶς εὑρισκόμενοι ἢ καὶ ὡροσκοποῦντες μεγάλας βοηθείας διὰ θεῶν [ἢ δι'] ἐπιφανείας ἢ δι' ὀνείρων παρέχονται τοῖς γεννωμένοις· ὁ μὲν γὰρ Σκορπίος οὕτως εὑρισκόμενος καὶ μάλιστα περὶ μοίρας κη' ις', ἔνθα ἐστὶν ὁ λαμπρὸς τοῦ Ὀφιούχου, δι' ἐπιφανείας ἢ δυνάμεως Ἀσκληπιακῆς ἢ Σαραπιακῆς[1] <ἢ> ἰατρῶν ἀρίστων συναστρίας θεραπεύει τοὺς οὕτω γεννωμένους· ὁ δὲ τοῦ Στάχυος τῆς Παρθένου, ὅς ἐστιν τοῦ Ζυγοῦ περὶ λεπτῶν κ', [αὐτὸς] οὕτως εὑρισκόμενος διὰ Μητρὸς θεῶν ἢ Κόρης ἢ Ἀφροδίτης

1 περὶ suppl. ex An. 2 δοξάζονται] Krollii coniecturam (An., p. 203, 19) confirmat P. 2-3 αὐτὸς δὲ — ποιεῖ] διὰ γὰρ τὸ εἶναι τὸν Ἀντάρην ἐν τῇ δύσει ποιεῖ B. τὸ δῦνον An. : δύνων P. 4 γυναικίων προσώπων P : γυναικῶν B. 5-6 τῶν οὕτως — πολυχρ. δέ] αὐτῶν πλυυσιώταται μὲν ἀλλ' οὐ πολυχρόνιοι B. 5 γενομένων P. 6 οὗτος om. B. 7 ὡς προείπομεν om. B. 8 εὑρισκόμενος P : κείμενος B. λαμπρὸς om. P. 8-10 καὶ ἔχων — περιθύμους καὶ] ποιεῖ διὰ τὸν Ἄρην καὶ τὴν Ἀφροδίτην (cet. om.) B. 9 τὴν ... ἐνεργητικήν P; corr. ex An. 10 γενομένους P. 11 διαφόρους P. καὶ φύσει αὐτὸς P. οὗτος B. 12 ἀνατέλλων ἤτοι om. B. κ' corr. : μ' P et B (nam ια' An. + 1° 20 = ιβ' κ'). 13 ἐπισήμους B et An. : ἐπισὶν οὐδὲν sic P. καὶ μᾶλλον εὐηδεῖς P (εὐειδεῖς supplendum apud An.). 13-14 καὶ καλοτραχήλους om. B. 15 ss. cf. An., p 210, 1 ss. 15 καὶ om. P. 15-16 ἐν — τόπῳ] ἐν τῷ θ' B. 16 ἢ ἐν τῷ ὑπὸ γῆν An. 17 ἢ δι' P et An. : om. B. An ἢ δαιμόνων? 18 τοῖς γενομένοις P : om. B. 19 κη' ις' P : κζ' An : om. B. ἐστιν] ἐκεῖνος P. 20 δι' ἐπιφαν. — σαραπιακῆς om. B. ἢ ex An add. 21 ἀρίστων B : ἄριστον P; om. An. τοὺς οὕτω γεννωμένους om. B. γινομένους P. 22-23 τῆς Παρθένου — εὑρισκόμενος om. B. 22 τοῦ Ζυγοῦ περὶ λεπτῶν κ' P : περὶ τὴν κθ' μοῖραν An. αὐτὸς om. An. 23-p. 182, 1 διὰ Ἀφροδ: ἢ Κ. ἢ τῆς Μ. τ. θ. ὑγείας ἀποτέλει B. 23 διὰ Μητρὸς An : διάμετρος signo astrol. P.

[1] De his deis et illis qui postea nominabuntur, vide quae in *Catal.*, V, p. 210 ss. adnotavimus.

Digitized by Microsoft®

ἢ Ὑγείας ἐπιφανείας ἀποτελεῖ· ὁ δὲ ἐπὶ τῆς κεφαλῆς τοῦ ἡγουμένου Διδύμου μοίρᾳ κζʹ εὑρισκόμενος, ὡς προείπομεν, ἐν τῷ περὶ θεῶν τόπῳ ἢ ἐν τῷ ὑπογείῳ κέντρῳ ἢ ὡροσκοπῶν δι' Ἑρμοῦ ἢ Τελεσφόρου ἢ Ἀπόλλωνος τὰς βοηθείας ποιεῖ· ὁ δὲ ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομένου Διδύμου, ὅς ἐστιν ἐπὶ τῶν κʹ λεπτῶν τοῦ Καρκίνου οὕτως εὑρισκόμενος καὶ μάλιστα ἐπὶ νυκτερινῶν γενέσεων δι' Ἡρακλέους ἢ Διοσκόρων βοηθείας ἢ ἐπιφανείας παρέχεται· καὶ ὁ λαμπρὸς δὲ τοῦ Κυνὸς Διδύμων καʹ κʹ, ἐν οἷς προεῖπον τόποις εὑρισκόμενος, καὶ μάλιστα ἐπὶ νυκτερινῶν γενέσεων ἀπὸ Ἑκάτης ἢ Ἀνούβιδος ἢ καὶ αὐτοῦ τοῦ Ἄρεως ἢ καὶ τὰς διὰ στοιχείων ἢ πυρὸς ἢ αἵματος ἢ ἀποτροπιασμῶν βοηθείας ἢ ἐπιφανείας παρέχεται· ὁ δὲ ἐπὶ τῆς Λύρας διὰ Ἀπόλλωνος ἢ Ἑρμοῦ, οἱ δὲ ἐπὶ τῶν κεράτων τοῦ Αἰγόκερω καὶ οἱ Ἔριφοι καὶ ἡ Αἴξ, ἐφ' ὧν προεῖπον τόπων εὑρισκόμενοι, διὰ Πανὸς ἢ καὶ Ἑρμοῦ τὰς βοηθείας καὶ τὰς ἐπιφανείας ποιοῦσι, μάλιστα ἐὰν καὶ τῶν ἀγαθοποιῶν τις τοὺς προειρημένους τόπους ἐπιθεωρήσῃ.

Καὶ ἕκαστος δὲ τῶν πλανητῶν κατὰ τὴν οἰκείαν αὐτοῦ φύσιν ἐπὶ τῶν προδεδηλωμένων τόπων εὑρισκόμενος καὶ μάλιστα οἱ ἀγαθοποιοὶ τὰς βοηθείας καὶ ἐπιφανείας ποιοῦσι κατὰ τὰς τῆς φύσεως αὐτῶν δυνάμεις, καὶ ὁ Κρόνος δὲ ἐπὶ ἡμερινῶν γενέσεων τὰς ἰδίας ἢ καὶ τὰς διὰ Πλούτωνος καὶ Ποσειδῶνος ὄψεις καὶ βοηθείας παρέχεται καὶ ἐξ ἀντιπαθείας τῶν ἰδίων βοτανῶν καὶ τῶν ἄλλων θεραπείας παρέχεται· ἐπὶ δὲ τῶν νυκτερινῶν γενέσεων καλῶς κείμενος τὰς διὰ τετελευτηκότων προσώπων ἢ ἐπισημασιῶν καὶ δεισιδαιμονιῶν παρέχεται καὶ ὁ Ἄρης δὲ τὰ τῇ ἑαυτοῦ φύσει ἐοικότα παρέχεται καὶ τοῖς μὲν νυκτερινοῖς ὠφέλιμα, φοβερὰ δὲ τοῖς δι' ἡμέρας γεννωμένοις καὶ ἐναντία καὶ βλαβερά.

1 ἢ Ὑγείας ἐπιφανίας ἀποτ. P : ὕπαυγος ὑγείας ἀποτέλει An. κεφαλῆς An., B; κάλπης P, errore librarii ut vid. Urna enim est Aquarii. 2 μοίρᾳ κζʹ P : ὅς ἐστιν περὶ τὰς κϛʹ μοίρας αὐτῶν An. ὡς προείπωμεν sic P : πρὸ ζʹ μοιρῶν An. 2-3 ἐν τῷ θʹ B qui sequentia omisit usque ad μάλιστα v. 6. 3 ἢ ὡροσκοπῶν δι' An. : ὡροσκοποῦντος δὲ P. 4 τὰς om. P. 4-5 ἐπὶ τῆς κεφαλῆς τοῦ ἑπομ. Διδύμου om. P. ἐπὶ τῶν κʹ λεπτῶν οὐ τοῦ Καρκίνου P : ἐπὶ τῆς κθʹ μοίρας αὐτῶν An. 6 ἐπὶ ν. γενέσ.] νυκτὸς B. Ἡρακλέα P. 6-7 ἢ ἡμέρας Διοσκούρων B : unde ἢ ἐπὶ ἡμερινῶν διὰ correxi, vix recte. 7 παρέχει An. 8 Κυνός ὁ παρανατέλλων τῇ κʹ μοίρᾳ τῶν Διδύμων καὶ An. ὁ δὲ Κύων ἐν τῷ θʹ καὶ μάλιστα νυκτός B. 9 ἑκάστης P. 10-11 τὰς δι' εὐχῆς βοηθείας παρέχεται καὶ παρακλήσεως B. 10 διαστοιχειῶν sic P : διὰ θυσιῶν An. 12 ἢ ἐροιφη sic P. 13 Αἴξ om. spatio relicto P. ἐφ' ὧν — εὑρισκόμενοι] ἐν τῷ θʹ B. πόνος P. 14-15 παθοποιῶν P. 17 παθοποιοὶ P. 18 καὶ ἐπιφανείας om. B. 19 ἡμερινῆς γενέσεως An. : ἐπὶ ἡμέρας B. 20 πλάτωνος P. 21 ἐν ἀντιπαθείαις P. θεραπειῶν P. 22 ἐπὶ — γενέσεων] νυκτὸς δὲ B. κακῶς An. 23 ἐπισήμων P, An. : γυναικῶν ἐπισήμων B : corr. δυσειδαιμονίων An. : δυσιδαιμόνων P : om. B. 24 τὰ om. P. τὰ οἰκεῖα τῇ ἑαυτοῦ φύσει δωρεῖται B. 24-26 καὶ τοῖς μὲν ἐν νυκτὶ ὠφέλιμα καὶ φοβερά, τοῖς δὲ ἐν ἡμέρᾳ γεννωμένοις ἐναντία καὶ βλαβερά An. : καὶ νυκτὸς μὲν ὠφέλιμα, ἡμέρας δὲ φοβερὰ καὶ ἐναντία καὶ βλαβερὰ B. 25 νυκτερινῆς ὀφειλεῖ P. τῆς — γινομένης P.

Digitized by Microsoft®

νθ'. Περὶ σχημάτων Σελήνης καθολικῶν.

Σελήνη Σκορπίῳ ἢ Ἰχθύσιν ἢ Καρκίνῳ Κρόνου καὶ Ἄρεως ἰσομοίρων αὐτῇ ὄντων λεπροὺς ἢ ἐλεφαντιῶντας ποιεῖ ἢ φαρμάκῳ ἀναιρεῖ. Σελήνη μετὰ Κρόνου καὶ Ἄρεως ἐν ὑστέραις μοίραις τῶν ζῳδίων κυλλοὺς ἢ χωλοὺς ποιεῖ. Σελήνη ἀπόστροφος τοῦ ὡροσκόπου ποιεῖ τοὺς γεννηθέντας ἑαυτοῖς τὰ ἐναντία φρονεῖν. συνόδου καὶ πανσελήνου οἱ κύριοι κακοδαιμονοῦντες ἐκπτώτους ποιοῦσι. Σελήνη μεστὴ ἐν Ἰχθύσι πάντοτε τὸν πατέρα προαναιρεῖ τῆς μητρός. Σελήνη ἐν Τοξότῃ πάντοτε ἀδελφοὺς ἀναιρεῖ. Σελήνη καὶ Ἥλιος ἐν τῷ ϛ' ἢ ιβ' Κρόνου καὶ Ἄρεως καὶ Ἑρμοῦ ἐπικέντρων ὄντων δίχα Διὸς ἢ Ἀφροδίτης κυνανθρώπους ἢ κυνοβρώτους ποιοῦσι. Σελήνη καὶ Ἀφροδίτη ὁμοῦ ποιοῦσι ῥευματιζομένους συχνῶς τοὺς ὀφθαλμούς, ἔσθ' ὅτε δὲ καὶ μαλακοὺς καὶ μιγνυμένους δυσὶν ἀδελφαῖς ἢ μητρὶ καὶ θυγατρί. Σελήνη καὶ Ἑρμῆς τετράγωνοι ἢ διάμετροι ἢ συνόντες ποιοῦσι ψεύστας καὶ ἅρπαγας τῶν ἀλλοτρίων, εἰ δὲ καὶ Ἄρης παρῇ, πλαστογράφους ἢ φιλοφαρμάκους ἢ δρομεῖς. Σελήνη διαμετροῦσα τὸν ἴδιον οἰκοδεσπότην φυγάδας, ἀτίμους, μετανάστας, ξενιτεύοντας. Σελήνη συνοδικὸν ἢ διχότομον ἢ ἀμφίκυρτον ἢ πανσέληνον ἢ δευτέρως ἀμφίκυρτον ἢ δευτέρως διχότομον σύνδεσμον ποιουμένη καὶ ὑπὸ κακοποιῶν ἀκτινοβολουμένη σίνη ἢ πάθη ποιεῖ. Σελήνη ὑπογείῳ τὴν μητέρα ἀγενῆ ἢ σεσινωμένην ποιεῖ· εἰ δὲ καὶ ὁ οἰκοδεσπότης αὐτῆς ἀποκλίνει, δούλην. ἐὰν δὲ καὶ συνάπτῃ κακοποιῷ, βιαιοθάνατος ἔσται.

1 **P**(arisinus) 2425, f. 116r; Parisinus 2506 (= 10 = **A**), f. 12v; Venetus 7 (= **B**), f. 103. Titulum ex epitom. *Catal.*, VIII, 3, p. 109, 1 recepi : Κλήματα ☾ καθολικά P : περὶ καθολικῶν σχημάτων τῆς Σελήνης (καὶ τῶν add. A) δωδεκατημορίων τῶν ἀστέρων AB (cf. infra cap. ξ'). 2 Καρκίνῳ P : Διδύμοις (signo astr.) AB. 2-3 Κρόνου — ὄντων] Κρόνος καὶ Ἄρης ἰσομοιροῦντες αὐτοὶ P. 3 ἐλεφαντιότας P. φαρμάκῳ AB : φαλλακρούς P. ἀναιρεῖς B. 4 μετὰ AB : σὺν P. 5 κουιλοὺς P. ποιεῖ om. AB. 5-7 σελήνη — κύριοι P : ἀπόστροφος δὲ τοῦ ὡροσκόπου ἑαυτοῖς ἐναντία φρονοῦντας (φονοῦντα A) τῆς προγενομένης συζυγίας οἱ οἰκοδεσπόται AB. 8 ἐν alter. om. AB. 9-11 Eadem fere supra p. 127, 21-23. 10 καὶ bis om. AB. ἐπικ. ὄντων P : κεκεντρωμένων AB. 11 ἢ om. P. ἢ κυνοβρώτους] finis hexametri? ποιοῦσι om. A, ac sic deinceps. 12 συχνῶς P : πυκνῶς A : πυκνοὺς B. 13-14 δὲ γίνονται καὶ μαλακοὶ καὶ τὰς μίξεις ποιουμένους (sic) πρὸς δύο ἀδελφὰς ἢ μητέρα καὶ θύγατρα P, circumlocutione usus. 14 κατὰ διάμετρον ἢ τετράγωνον σινόνταις P. ἢ om. B. 15 καὶ om. A. Post παρῇ] ποιεῖ add. P. 16-17 διάμετρος τῷ ἰδίῳ οἰκοδεσπότῃ AB. 17 ἢ φυγ. P. ξενιτεύοντας om. AB. 18 συνοδικὴ ἢ πανσεληνιακὴ B : συνοδικὸν ἢ πανσεληνιακὸν A : συνοδικῶν P. 18-19 ἢ δυχοτόμων ἢ ἀνθηκέρτων ἢ πανσελίνων ἢ δευτέρως ἀνθηκέρτων ἢ δευτέρως ἀνθηχωτόμον (θη in δι corr.) P : ἢ διχότομον ἢ ἀμφίκυρτον cet. om. AB. 20 ἀκτινοβολουμένη P : ὁρωμένη AB. 20-21 Σελήνη — ποιεῖ om. B. 20 σελήνη ὑπογείῳ AB (sign. astr.) : σελήνη ὑποτριταίαν P; cf. p. 149, 28 ss. 21 ἢ A : καὶ P. 22 δοῦλος B. κακοποιῶν P. βιωθθάνατος (sic) P.

Digitized by Microsoft®

ξ'. Περὶ δωδεκατημορίων.

Ἐὰν τὸ τῆς Σελήνης δωδεκατημόριον τρίγωνον αὐτῇ γένηται, ἐνδόξους σημαίνει· ἐὰν δὲ εἰς τὸ διάμετρον, ἐναντίον αὐτὸ καὶ ἄδοξον. ἐὰν τὸ τῆς Σελήνης δωδεκατημόριον εἰς τὸ ἑαυτῆς διάμετρον ἐμπέσῃ ἐν τετράποδι ζῳδίῳ, ἐπιμαρτυρήσῃ δὲ ὁ τοῦ Ἄρεως, θηριοβρώτους ποιεῖ. ἐν δὲ τοῖς ἀνθρωποειδέσιν, ὑπὸ λῃστῶν ἀναιρουμένους ποιεῖ. εἰ δὲ νυκτὸς εἴη ἡ γένεσις, ποιεῖ ἐμπράκτους καὶ γενναίους. ἐὰν δὲ πρὸς τὸν τοῦ Κρόνου, ἔσται ἡ μήτηρ ὑποτακτικὴ ἢ ἀλλόφυλος καὶ αὐτὸς δὲ ὑποταγήσεται. αἱ δὲ μεγάλαι γενέσεις διαπίπτουσι τοῦ βίου, μάλιστα νυκτός. ἐὰν δὲ πρὸς τὸν τοῦ Ἑρμοῦ πέσῃ, λογίους, πεπαιδευμένους· ἐὰν δὲ πρὸς Δία, σεμνούς, ἰσοθέους· εἰ δὲ πρὸς Ἀφροδίτην, προσφιλεῖς, ἱλαρούς, εὐφροσύνους· εἰ δὲ πρὸς Ἥλιον, εὐδιανοήτους, ἰσοθέους, περὶ τῶν θειῶν καὶ κοσμικῶν ζητοῦντας καὶ λέγοντας. ἐὰν δὲ εἰς τὸ μεσουράνημα μετὰ κακοποιῶν, φυλακῆς πεῖραν λήψεται καὶ μεταβολὴν ἐπὶ τὸ χεῖρον ὄψεται, ἐὰν εἰς τὸ τετράγωνον αὐτῆς, αὐτὸς ἑαυτῷ σύμφορος· ἐὰν δὲ εἰς ἐκεῖνον ὅπου Ζεὺς καὶ Ἀφροδίτη, ἀγαθόν. ἐὰν δὲ Κρόνου τὸ δωδεκατημόριον εἰς τὸ ἴδιον τρίγωνον ἐμπέσῃ, ἄδοξον· εἰ δὲ σύμφωνος πρὸς τὴν Σελήνην καὶ τὸν Ἥλιον γενήσεται, γενέσεις εἰς πρόσωπα βασιλέων ἔσονται. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ἀστέρων ἁπάντων, ἐὰν οὕτως ἐμπίπτῃ τὰ δωδεκατημόρια, τὸ αὐτὸ σημαίνει. ἐὰν τὸ τοῦ Κρόνου καὶ τὸ τοῦ Ἄρεως δωδεκατήμοριον εἰς τόπον τῆς Σελήνης ἐμπίπτῃ ἢ τοῦ Ἡλίου, οὐ καλόν. ἐὰν δὲ εἰς τὰ ἴδια τρίγωνα ἐμπίπτῃ

1 **P**, f. 116ᵛ; **A**, f. 13; **B**, f. 103ᵛ. Titulum om. A; cf. supra, cod. νθ' adnot. : ιβ' μόριον τῆς Σελήνης B. 2 ἐὰν om. AB. τρίγωνον P : ἐὰν τετράγωνον AB. 3 ἔνδοξον AB. εἰ δὲ διάμετρον ἄδοξον AB cet. om. Post ἄδοξον haecce praebent AB, quae infra (v. 13-22) aliter expressa in P inveniuntur : ἐὰν μεσουρανοῦν, κακοποιόν, ἅμα φυλακῆς πεῖραν λήψεται καὶ μεταβολὴν ἐπὶ τὸ χεῖρον. ἐὰν ἔνθα Ζεὺς ἢ Ἀφροδίτη, ἀγαθόν· τὸ τοῦ Κρόνου δωδεκατημόριον, εἰ εἰς τὸ ἴδιον τρίγωνον ἐμπίπτει, ἄδοξον [ἄδ. om. A], εἰ δὲ συμφωνεῖ ὁ Κρόνος πρὸς Σελήνην ἢ ὁ Ἥλιος, ἔνδοξον. τὸ δὲ αὐτὸ καὶ ἐπὶ τῶν ἄλλων πλανήτων (ἀστέρων A) πάντων. ἐὰν τὸ τοῦ Κρόνου ἢ Ἄρεως δωδεκατημόριον εἰς τὸν τόπον τοῦ Ἡλίου ἢ τῆς Σελήνης ἐμπίπτει, κακόν. 4 ἐὰν post δωδεκ. transp. AB. 5 ἐπιμαρτ. — Ἄρεως P : ὁρῶντος Ἄρεως AB. 6 ποιεῖ om. AB. 6-7 εἰ δὲ νυκτὸς εἴη P : νυκτὸς δὲ AB. 7 ἡ γένεσις ποιεῖ om. AB. καὶ om. P. 8-9 καὶ αὐτὸς ὑποτ. om. AB. 9 ὑπο(τα)γήσεται (τα dubium) P. αἱ δὲ μ. γ. διαπ. τοῦ βίου P : τὰς δὲ μεγάλας γενέσεις ἐκπτώτους ποιεῖ AV. 10 εἰ δὲ πρὸς Ἑρμῆν AB. πέσῃ AV : ἢ P. λογικοὺς AB. 11 πρὸς δὲ Δία AB. 11-12 εἰ δὲ πρὸς — ἰσοθέους om. B. 11 εἰ δὲ πρὸς P : πρὸς δὲ A. 11-12 προσφιλεῖς post εὐφροσύνους transp. A. 12 εἰ δὲ πρὸς P : πρὸς δὲ A. 13 περὶ τὸν θεὸν καὶ κοσμικῶν ζητοῦντος καὶ λέγοντος P : περὶ τὰ φεῖα lac. 3 litt. βιωτικ(ὰ) ζητικούς A : περὶ τὰ θεῖα ζητητικοὺς B. 13-22 ἐὰν δὲ εἰς τὸ μεσουρ. — οὐ καλόν. Hic om AB, partim supra inveniuntur, cf, ad v. 3. 14 μεταβολῆς codd. 15 ἐπὶ τὸ χεῖρον AB. πτωχ(οὺς) P. 15-16 συμφώρους P : corr. 17 ἄδοξον om. P : ex AB suppl. (cf. v. 3). 18 γενεῖται P. γεν(έσεις) P : om. AB. 19 ἐπὶ om. P : ex AB suppl. 20 ἐμπίπτει P. 22-p. 185, 1 τὰ δωδεκ. αὐτ. εἰς τ. ἴ. τρίγ. ἐμπίπτῃ (ἐμπίπτει B) AB.

Digitized by Microsoft®

τὰ δωδεκατημόρια αὐτῶν, τὰ ἀγαθὰ μείζονα ποιεῖ· θεώρει δὲ πότερον ἀγαθοποιῶν ἢ κακοποιῶν. ἐὰν εἰς τὸ ὡροσκοποῦν ζῴδιον ἐμπίπτῃ, ἐπὶ τέκνοις λυπηθήσονται καὶ νοσεροὶ γίγνονται. ἐὰν δὲ εἰς τὸ δυτικόν, κινδυνεύσουσι κρίσεσι καὶ πτώσεσι καὶ ὀφθαλμίαις· ἐὰν εἰς τὸ μεσουράνημα, ἐγκοπὰς ἔχουσιν ἐν ταῖς δόξαις· ἐὰν δὲ εἰς τὸ ὑπόγειον, ὑπὸ κρυφίμων τόπων ὀχλοῦνται. τὰ παραπλήσια ποιεῖ καὶ τὸ τοῦ Ἄρεως δωδεκατημόριον· ἐὰν τὸ τοῦ Κρόνου δωδεκατημόριον εἰς τὸν τόπον τοῦ Διὸς ἐμπίπτῃ, διαφορὰν ἕξει πρὸς ἡγούμενον· ἐὰν δὲ εἰς τὸν τοῦ Ἄρεως, ἐν κρίσεσι πολλαῖς ἔσται· ἐὰν δὲ εἰς τὸν τοῦ Ἑρμοῦ, ἐπὶ τέκνοις καὶ ἀδελφοῖς λυπηθήσεται· ἐὰν δὲ εἰς τὸν τῆς Ἀφροδίτης, ἐπὶ γυναικὶ λυπηθήσεται· ἐὰν <δὲ> εἰς τὸν τοῦ Ἡλίου, τὰ πατρικὰ χρήματα βλάπτει ἢ αὐτὸν τὸν πατέρα κακοποιεῖ· ἐὰν τὸ τοῦ Ἄρεως δωδεκατημόριον, εἰς τὸν τῆς Ἀφροδίτης τόπον ἐμπέσῃ, μοιχὸς ἔσται· ἐὰν εἰς τὸν τοῦ Ἑρμοῦ, ἰδίοις ἢ ἀδελφοῖς διάφορος ἔσται· ἐὰν εἰς τὸν τοῦ Ἡλίου, ἀπὸ πυρὸς κίνδυνον ἕξει καὶ ἀπὸ τραύματος ἢ ὁ πατὴρ αὐτοῦ· ἐὰν τὸ τοῦ Ἑρμοῦ δωδεκατημόριον ἐμπίπτῃ εἰς τὸν τοῦ Διός, χρήματα πιστευθήσεται καὶ διὰ λόγων ἢ γραμμάτων προκόψει καὶ ὑπερέχοντι συσταθήσεται· ἐὰν δὲ εἰς τὸν τῆς Σελήνης, οὐκ ἔσται ἐμπαίδευτος, ἀεὶ δὲ ἐν γράμμασιν καὶ λόγοις ἔσται· ἐὰν δὲ εἰς τὸν τοῦ Ἄρεως [ἢ εἰς τὸν τοῦ Ἑρμοῦ] ἢ εἰς τὸν τῆς Ἀφροδίτης, πολλοὺς ψόγους ἕξει διὰ γυναῖκα καὶ πρεσβυτέραις ἢ δούλαις ἐπιμιγήσεται.

1 καὶ τὰ ἀγ. AB. θεώρει A : θεωρῇ P : θεωρία B. Deest aliquid? 1-2 πρότερον ἀγαθοποιοῦ ἢ κακοποιοῦ P. 2 εἰς τὸν ὡροσκόπον πίπτῃ AB. 3 λυπουμένους καὶ νοσώδεις AB. γίνονται om. AV. δὲ om. AB. δυτικὸν P : ζῴδιον AB. 4 κινδυν. κρισ. κ. πτ. κ' ὀφθ. P : πτώσεις ἢ ὀφθαλμίας AB. 5 ἐγκοπὰς ἔχουσιν P : ἐγκόπτοντας B : ἐγκοπτῶντας (γκο corr.) A. δὲ om. AB. ὑπόγειον P : δυτικὸν AB. 5-6 ὑποκρυφίμων A : ὑποκρυφήμων P : ὑποκρυφίων B; corr. 6 ὀχλοῦντας codd., corr. 7 τὸν om. P. 8 πίπτῃ P : πίπτει B. διαφορὰν (φ corr.) A : διαφωρὰν P. ἕξουσιν ἡγουμένων AB ἐὰν P : εἰ AB. 9 ἐγκρίσεσι P. ἔσονται AB. δὲ om. P. εἰς om AB. 9-10 τέκνων καὶ ἀδελφῶν λυπηθήσονται AB. δὲ om. P. 10 εἰς τὸν τῆς P : εἰς A : om. B. 11 λυπηθήσεται om. AB. δὲ suppl. εἰς ἥλιον AB. 11-12 τὰ πατρικὰ — κακοποιεῖ P : ἐπὶ τοῖς πατρικοῖς (πατρίοις B) ἢ τοῖς πατράσιν AB. 12 τὸ τοῦ Ἄρ. ἐὰν P. δωδεκατημόριον om. AB. 13 τὸν τῆς scr. : τῆς P : om. AB. Ἀφροδίτην (sign. astr.) AB : Ἀφροδίτης τόπον P. ἐμπέσει P : πέσῃ AB. μοιχοὺς ποιεῖ AB. τὸν τοῦ om. AB. 14 ἰδίοις ἢ ἀδ. διαφώροις ἔσται P : ἀδελφοῖς ἢ οἰκείοις (οἰκίοις A) διαφόρους AB. τὸν τοῦ om AB. 15 ἢ τραύματος κινδυνεύσει AB. ἢ AB : καὶ P. 16 πέσῃ AB : ἐμπίπτει P. τὸν τοῦ om. AB. 17 πιστευθήσονται AB. ἢ om P. προκόψουσι AB. 18 συσταθήσονται AB. τὸν τῆς om. AB. οὐκ ἔσται ἐμπαίδευτος om. AB. 19 δὲ om. A. ἔσονται καὶ λόγοις AB. 19-20 εἰς τὸν τ. Ἀ. ἢ εἰς τ. τ. Ἑ. ἢ εἰς τ. τ. Ἀφρ. P : εἰς Ἑρμῆν ἢ Ἀφροδίτην (sign. astr.) AB cet. om. ἢ εἰς τὸν τοῦ Ἑρμοῦ del. 20 ψόγους πολλοὺς ἕξουσι AB. 21 ἐπιμηγείσεται P : μιγήσονται AB.

Digitized by Microsoft®

ξα'. Καθολικὰ σχήματα περὶ σινῶν καὶ παθῶν.

Πολλὰ μὲν οὖν καὶ διάφορα συνεγράψαντο οἱ παλαιοὶ εἰς τὸν περὶ σινῶν λόγον καὶ παθῶν, τὰ δὲ καθολικὰ καὶ ἀναμφίβολα αὐτῶν κατὰ μέρος ὑποτάξω, τὴν ἀλήθειαν αὐτῶν ἐν τοῖς ὑποδείγμασιν αὐτῶν προβαλλόμενος. ὅτι γὰρ οἱ κακοποιοὶ μόνοι ἐπίκεντροι ἢ καὶ ἐναπαφερόμενοι ἢ καὶ ἐπιθεωροῦντες τὰ φῶτα σίνη ἢ πάθη παρέχουσι δῆλον. οἱ γὰρ κακοποιοὶ ἀνατολικοὶ ὄντες σίνη ποιοῦσι, δυτικοὶ δὲ πάθη. ὁμοίως δὲ καὶ ἡ Σελήνη τὴν ἀπόρροιαν ἀπὸ τῶν κακοποιῶν μόνων ποιουμένη σίνη ἢ πάθη παρέχει. ὁ δὲ ἕκτος τόπος καὶ ὁ κύριος αὐτοῦ ὑπὸ κακοποιῶν μόνων θεωρούμενοι σίνη ἢ πάθη ποιοῦσι· ἐὰν δὲ ὁ κύριος τοῦ ϛ' τόπου ὡροσκοπῇ ἐν τροπικῷ ζῳδίῳ, σίνος περὶ τοὺς οφθαλμοὺς ποιεῖ. ἐὰν δὲ ὁ ϛ' τόπος καὶ ὁ κύριος αὐτοῦ ἐν καθύγρῳ ζῳδίῳ τύχωσι ὑπὸ Κρόνου θεωρούμενοι, ἐξ ὑγρῶν ἢ ῥευμάτων ἢ δυσεντεριῶν ἢ τῶν ὁμοίων τὰς ὀχλήσεις ποιοῦσιν· εἰ δὲ ὑπὸ Ἄρεως, ἀπὸ βαλανείων ἢ ζεμάτων ἢ τῶν ὁμοίων γίνεται τὰ σίνη καὶ πάθη. ἐὰν οὖν ὁ Ζεὺς κύριος τοῦ ἕκτου τόπου τύχῃ, καὶ ὑπὸ κακοποιῶν μόνων θεωρηθῇ, οἰνοβλαβεῖς ποιεῖ. ἐὰν δὲ ἡ Ἀφροδίτη οὕτως τύχῃ, γυναικομανεῖς ἢ πνευμονικοὺς ποιεῖ· ἐὰν δὲ Ἑρμῆς, κωφοὺς ἢ ἀλάλους ἢ βράγχους ἢ τραυλοὺς ἢ ψελλοὺς ποιεῖ. οὐ μὴν ἀλλὰ καὶ μετὰ Κρόνου ἢ καὶ ὁρίοις Κρόνου τὸ αὐτὸ ποιεῖ· ὁ δὲ Ἥλιος αὐτοῦ τυχὼν καρδιακοὺς ἢ τυφλοὺς ποιεῖ, ἡ δὲ Σελήνη ἡπατικοὺς ἢ τυφλούς· τὰ αὐτὰ δὲ ποιοῦσι κύριοι τυχόντες τοῦ ϛ' τόπου ἀπὸ ὡροσκόπου καὶ ὑπὸ κακοποιῶν μόνων θεωρούμενοι

1 **P**, f. 117ᵛ; **A**, f. 13; **B**, f. 103. 1-5 Πολλὰ — προβαλλόμενοι] Πολλὰ μὲν οἱ ἀρχαῖοι συνεγράψαντο εἰς τὸν περὶ σινῶν καὶ παθῶν λόγον, τὰ δὲ κ. καὶ ἀν. τούτων κατὰ μέρος ὑπέταξαν ὅσα ἐκ πείρας μαρτυρεῖ τὴν ἀλήθειαν AB; cf. *Catal.*, I, p. 145, 28. 3 τῶν παθῶν P. 4 ὑποδείγμασιν] Exempla quae doctrinam illustrabant hodie desunt. Servantur in Vettii Valentis l. II, cap. 36. 5 καὶ om. AB. 6 ἢ (ante καὶ) om. AB. παρέχουσι P : ποιοῦσι AB. 7 οἱ γὰρ κακοποιοὶ — ποιοῦσι] ἀλλὰ ἀνατολικοὶ (ἀνατολικὰ A) μὲν τὰ σίνη AB. δυτικὰ A. τὰ πάθη AB. μόνων A : μόνως B : μόνον P: cf. infra v. 16, 22. παρέχει P : ποιεῖ AB. 9-10 ὁ δὲ ἕκτος — ποιοῦσι om. B. 10 κακοποιῶν μόνων A : κακοποιοῦ μόνου P. ποιοῦσι P : ποιεῖ A. ἐὰν δὲ om. AB. 11 τόπου om. AB. ὡροσκοπῇ scripsi : ὡροσκοπ(ῶν) ut vid. AB : ὡροσκόπου οὖν P. 11-12 σινοῖ τοὺς ὀφθαλμοὺς AB. 12 ἐὰν δὲ om. AB. καθύγροις ζῳδίοις P; cf. v. 11. τύχωσι P : ὄντες AB. 13 ὁρώμενοι AB ἐξ AB : ἢ P. δυσεντερικῶν B. 14 ποιεῖ P. ἀπὸ Ἄρ. AB. 15 ζευμάτων P. γίνονται A : om. P. καὶ πάθη AB : ποιεῖ P. 15 ss. Cf. supra cap. de sexto loco, p. 156, 1 ss. 15 ἐὰν οὖν om. AB. ὁ om. P. 16 τόπου τύχῃ om. AB. μόνως B. θεωρούμενος AB. 17 εἰ δὲ Ἀφρ. P. οὕτως τύχῃ om. AB. 18 ποιεῖ om. AB. ὁ om. P. ἢ (primum) om. AB. βραγχίας AB : βρύγχους (γ superscr.) P. 19 μὴν P : μὲν AB. καὶ om. AB. 20 δὲ (prius) om. AB. αὐτῷ A : τοῦτο P. ποιεῖ om. AB. 20 et 21 τυφλούς recte, nam Sol et Luna sunt duo oculi caeli (*Rev. de philol.*, XLII, 1918, p. 75, n. 3; cf. Ptol., *Tetr.*, III, 15, p. 149, ed. a. 1553). Item Sol est cor mundi. 21 τυχώντες (sic) P : ὄντες AB. 22 τόπου ἀπὸ ὡροσκόπου om. AB. ἀπὸ scripsi : ὑπὸ P. μόνως B : μόνον P; cf. v. 8.

Digitized by Microsoft®

Διὸς καὶ Ἀφροδίτης ἀποστρόφων ὄντων· ὁ Ἄρης κύριος ὢν τοῦ ϛ' τόπου ἢ ὡροσκόπου πηροὺς ποιεῖ δίχα Διὸς ἢ Ἀφροδίτης. ἰδίως δὲ καὶ αἱ ἐμπεριοχαὶ τῶν κακοποιῶν πρός τε τὸν Ἥλιον καὶ τὴν Σελήνην καὶ τὸν ὡροσκόπον σίνη καὶ πάθη περὶ τοὺς ὀφθαλμοὺς καὶ περὶ τὰς ὄψεις ποιοῦσι.

Μή σε λαθέτω, καθὼς προεῖπον, ὅτι οἱ Δίδυμοι ἀντιμετροῦσιν τὸν Αἰγοκέρωτα καὶ ὁ Καρκίνος τὸν Τοξότην κατὰ τὰ ἰσανάφορα, ἀλλὰ δὲ καὶ Κριὸς τὴν Παρθένον διαμετρεῖ καὶ ὁ Ζυγὸς τοὺς Ἰχθύας κατὰ τὰς ἰσοδυναμίας. πολλὰ γὰρ ἀπὸ τούτων πτώματα γίνεται, καθὼς προεῖπον, ἀπὸ τοῦ νομίζειν αὐτοὺς ἀποστρόφους ἀλλήλων εἶναι. οὔτε γὰρ τὰ ὁμόζωνα ἀπαγορεύει τι τῶν συσχηματισμῶν. ἔθετο δὲ καὶ κλῆρον σίνους Δωρόθεος λαμβανόμενον ἡμέρας μὲν ἀπὸ Κρόνου ἐπὶ Ἄρεα καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου, νυκτὸς δὲ ἐναλλάξ. καὶ χρὴ σκοπεῖσθαι τοὺς ἐπικειμένους τῷ κλήρῳ ἢ τοὺς ἐπιθεωροῦντας τὸν κλῆρον ἢ τὸν τόπον. ἀλλὰ δὲ καὶ ὁ τριγωνικὸς δεσπότης τοῦ ὑπογείου ὑπὸ κακοποιῶν θεωρούμενος ἢ κακῶς κείμενος δίχα Διὸς καὶ Ἀφροδίτης σίνος ἢ πάθος ποιεῖ. τοὺς φωστῆρας ἐπαναφερόμενοι οἱ κακοποιοὶ μόνοι ὀφθαλμοὺς ἀδικοῦσιν ἢ ἀμβλυωπίαν ποιοῦσι. ἡ Σελήνη σύνδεσμον λύουσα ἀπὸ Ἡλίου ἢ πανσελήνη καὶ ὑπὸ Ἄρεως ἢ Κρόνου βλαπτομένη ὀφθαλμοὺς ἀδικεῖ· ἡ Σελήνη ἐν ταῖς <σινωτικαῖς> μοίραις τῶν ζῳδίων τυχοῦσα καὶ ὑπὸ κακοποιῶν θεωρουμένη σίνη ἢ πάθη ποιεῖ μάλιστα περὶ τοὺς ὀφθαλμούς· σινωτικαὶ δὲ μοῖραι τῶν ζῳδίων εἰσὶν αὗται· Λέοντος μοῖραι ιη' κζ' κη', Σκορπίου ιθ' κε', Τοξότου α' ζ' η' ιη' ιθ', Ταύρου ϛ' ζ' η' ι', Καρκίνου ἀπὸ μοίρας θ' ἕως ιε', Ὑδροχόου ιη' ιθ', Αἰγοκέρωτος ἀπὸ μοίρας κϛ' ἕως κθ'. ἐν ταύταις ταῖς μοίραις ἡ Σελήνη λήγουσα καὶ βλαπτομένη ὀφθαλμοὺς σινοῖ, μεστὴ δὲ ἀμβλυωπίαν παρέχει. καὶ ὁ μὲν Ἄρης τὰ σίνη καὶ τὰ πάθη ποιεῖ ἀπὸ πληγῆς ἢ σιδήρου ἢ πυρὸς ἢ κρούσματος ἢ πτώματος, ὁ δὲ Κρόνος δι' ὑποχύσεως ἢ ψύξεως ἢ γλαυκώσεως ἢ ῥεύματος ἢ ἀμβλυωπίας τὸ αἴτιον ποιεῖ· καὶ ἰδίως μὲν

1 κύριος ὢν P : κυριεύων AB. 2 τόπου om. AB. ἢ (ante ὡρ.) AB : καὶ P. Fort. ἀπὸ; cf. supra p. 186, 12. ὡροσκόπου δίχα Δ. ἢ 'Α. πηροὺς (sine ποιεῖ) AB. ἰδίως δὲ scr.; cf. v 29: ἤδωσι (sic) δὲ P : ἀλλὰ AB. 3 αἱ ἐμπεριοχαὶ scr. : αἱ περιοχαὶ AB : ἐμπερωχὲ P. 4 περὶ τοὺς ὀφθαλμοὺς καὶ om. AB. 5 ποιεῖ P. 6-p. 188, 11 Μή σε λαθέτω — παρασκευάζει ἢ ἰατὰ γίνεται om. AB. 6 προεῖπον] cf. *Catal*, 1, p. 153, cap. 16 et supra p. 124, 13 ss. 8 διὰ μετρὴν sic P. 11 ἀπαγορεύειν cod. 13 δὲ ἐναλλάξ corr. : ἐὰν ἐναλλάξει cod. 14 κλήρῳ corr. : κύκλῳ cod. 14-15 τὸν κύριον cod. : corr.; cf. infra p. 188, 12. 16 ἢ κακῶς corr. : ἀκακῶς cod. 17 τοὺς φωστῆρας accus. pro dativo : cf. *Catal.*, V, 1, p. 208, 5. 19 Ἡλίου signum dubium, quod ἡμέρας explicari potest. 20 σινωτικαῖς suppl.; cf v. 22. 22 ss. cf. *Catal.*, VII, p. 111, 19 ss, e codice G(erman.)7 et infra cap. ξβ'. 23 ιθ'] θ' G. ιθ' om. G. 24 θ'] ἐνέα P. 27 ss. Fere eadem repetuntur in fine huius cap. ex Ptolemaeo. 29 ῥευμάτων cod, ποιοῦσι cod. 29 ss. = Ptolem., *Tetr.*, II, 15, p. 152, 24 ss., ed. a. 1553.

Digitized by Microsoft®

ὁ Καρκίνος καὶ Αἰγόκερως ‹καὶ› Σκορπίος καὶ Ἰχθύες βλαπτόμενοι διὰ των νομῶν ἐμπάθη ποιοῦσι καὶ λειχήνων ἢ λεπρῶν ἢ χοιράδων ἢ ἐλεφαντιάσεων ἢ συρρίγγων ἢ καρκίνων ἢ ἄλλου τινὸς τῶν τοιούτων. ὁ δὲ Τοξότης καὶ οἱ Δίδυμοι τὰ διὰ πτώματος σημαίνει καὶ ἐπιλήψεων ἢ παρέσεων.

Καὶ ὁ μὲν τοῦ Διὸς ἀνατολικὸς ὢν καὶ ἐπιθεωρῶν τοὺς τὰ σίνη ἢ τὰ πάθη παρέχοντας τὰ μὲν σίνη κρυπτὰ ποιεῖ, τὰ δὲ πάθη παρηγορεῖν εἴωθεν· σὺν δὲ τῷ τοῦ Ἑρμοῦ ἀπὸ ἰατρῶν τὰς παρηγορίας παρέχει· ὁ δὲ τῆς Ἀφροδίτης ἐπιβλέπων τοὺς τὸ αἴτιον ποιοῦντας διὰ προφάσεων θεῶν καὶ χρησμῶν τὰ μὲν σίνη τρόπον τινὰ εὔμορφα ‹καὶ› χαρίεντα ποιεῖ, τὰ δὲ πάθη ἀπὸ ἰατρίας θεῶν παρασκευάζει [ἢ] ἰατὰ γένεσθαι.

Φησὶ δὲ Οὐάλης ὅτι δεῖ ἐπιβλέπειν τοὺς ἐπιθεωροῦντας τὸν κλῆρον τῆς τύχης καὶ τὸν κύριον αὐτοῦ καὶ ἐὰν κακοποιοὶ μόνοι ἐπιθεωρήσωσιν αὐτούς, σίνος ἢ πάθος διδόασι κατ' ἐκεῖνο τὸ μέλος ἐν ᾧ ζῳδίῳ τετύχηκεν ὁ κλῆρος τῆς τύχης ἢ ὁ κύριος αὐτοῦ, κατὰ τὴν ἰδίαν αὐτοῦ φύσιν καὶ καθ' ὃ μέλος κυριεύει, καθὼς ἐξέθετο Οὐάλης ἐν τῷ βῳ κεφαλαίῳ τοῦ πρώτου βιβλίου. καὶ ἀμφότεροι ἐὰν μὲν ἐν Κρονικοῖς ζῳδίοις τύχωσιν ἢ ὑπὸ Κρόνου θεωρηθῶσι, σίνος διὰ ῥευμάτων ἢ περιψυγμῶν ποιοῦσι, ὑπὸ δὲ Ἄρεως, ὅσα διὰ τομῶν ἢ καύσεων ἢ τῶν ὁμοίων κατὰ τὸ μέλος ἐκεῖνο ὃ σημαίνει τὸ ζῴδιον ἔνθα ἔτυχεν ὁ κλῆρρς ἢ ὁ κύριος αὐτοῦ.

Ἐὰν δὲ ὁ Ἀναβιβάζων ἐν τῷ περὶ σίνους τόπῳ τύχῃ ἢ καὶ ὁ Κρόνος καὶ ὁ Ἄρης ἐκεῖ τύχωσιν, ἀπὸ ὕψους πεσεῖται ἢ εἰς φρέαρ βαθὺ ἢ σίνος ἕξει ἐν τοῖς ὀστέοις αὐτοῦ· πολλὰ δὲ καὶ δεσμωθεὶς σινοῦται. εἰ δὲ Ζεὺς καὶ Ἀφροδίτη ἐκεῖ τύχωσιν καὶ μηκέτι Κρόνος καὶ Ἄρης

1 καὶ suppl. καὶ Σκορπίος in Ptol. deest. 2 τὸν νόμον cod.; corr. ex Ptol. 3 ἄλλο τι cod.: corr. Deest in Ptol. 6 ss. cf. Ptol., l. c., p. 153, 23 et Anonym. anni 379, *Catal.*, V, 1, p 209, 21 ss. 8 τῷ Ptol.: τὸ cod 9 ἐπιβλέπων τοὺς corr.: ἐπιβλέποντος cod. προφάσεως Ptol. 10 χρησμῶν Ptol.: χρηστῶν cod. χαρείεντα sic cod.: καὶ ἐπιχαρῆ Ptol. 11 ἢ del. 12 Φησὶ δὲ Οὐάλης ὅτι δεῖ ἐπιβλέπειν AB: καὶ σκόπει P, qui semper de auctoribus tacet; cf. Vett. Val., II, 36 (p. 111, 15 ss.). τὸν θεωροῦντα AB. 13 κύριον PB: κλῆρον A. 13-14 καὶ ἐὰν ὦσι κακοποιοὶ οὗτοι μόνοι οἱ ὁρῶντες (sine αὐτοὺς) AB. κακοποιοὶ μόνοι] κακοποιούμενοι P. 14 ἢ PA: καὶ B. διδώασι (sic) P: ποιοῦσι AB. ζῴδιον B. 15 ἢ om. A. ἰδέαν AB. ἑαυτοῦ P. 16 φύσιν om. AB. ἢ καὶ A καθ' ὧν μελῶν κυριεύῃ P. 16-17 καθὼς — βιβλίου om. P. 17 τοῦ πρώτου βιβλίου om. B; ἐν τῷ β' κ. τ. πρ. βιβλίου a lectore perperam addita? cf. Vett. Val., p. 109, 27 ss. ἐὰν P: εἰ AB. 17-18 ἐν κρονικῷ ζῳδίῳ B: ἐκ κρονικῶν ζῳδίων A. 18 τύχωσιν P: ὦσιν AB. θεωροῦνται P. διαρημάτων P. 19 ψυγμῶν A: ψυγμάτων B. ἢ καυσ. P: καὶ AB. 20-21 κατὰ τὸ — αὐτοῦ om. AB. 22-24 cf. supra p. 156, 20. 22 δὲ om. AB. ἐν τόπῳ σίνους AB. ἢ om. P. 22-23 ὁ ... ὁ om. AB. 23 τύχωσιν om. AB. πτῶσιν AB. Post βαθὺ] σημαίνει AB. 24 σίνος ἕξει — σινοῦται] ἢ τὰ ὀστᾶ σινοῦνται cet. om. AB. δαισμηθεὶς P; corr. 25-p. 189, 1 τύχωσι — ἐπιθεωρήσωσι] ἀθεώρητοι ὑπὸ Κρόνου καὶ Ἄρεως AB.

Digitized by Microsoft®

ἐπιθεωρήσωσι, ἀσινεῖς γίνονται. ἐὰν δὲ ὁ Καταβιβάζων ἐκεῖ τύχῃ, κακοπάθειαν ἐν νεότητι ποιεῖ· εἰ δὲ Ζεὺς καὶ Ἀφροδίτη ἐκεῖ τύχωσιν, πάθος κρυπτὸν ἕξουσι. εἰ δὲ Κρόνος καὶ Ἄρης ἐκεῖ τύχωσιν, ἀσινὴς μὲν ἔσται περὶ τὸ σῶμα, τοὺς δὲ πόδας αἰτιαθήσεται.

Εἰσὶ δὲ καὶ ἀλλὰ κεφάλαια σινῶν ἀλλὰ μετὰ συσχηματισμῶν τῶν ἀστέρων γινόμενα, οἷον Σελήνη μεστὴ ἐν τῷ ϛ′ τόπῳ πρὸς Ἄρεα φερομένη κατὰ σῶμα ἢ κατὰ διάμετρον κυλλοὺς ποιεῖ ἢ χωλοὺς ἢ ξυλόποδας· Κρόνος δύνων ἐν τῷ ὡροσκόπῳ ἢ ἐν τῷ ιβ′ ποιεῖ πάθος περὶ τὸν δακτύλιον. Ἄρης στηρίζων βλάπτει πόδας, ὄμματα δὲ δύνων. ὁ Ἄρης ἀκρόνυχος ἐκστατικοὺς ποιεῖ καὶ συριγγώδεις. ἡ Σελήνη ἐξ ἀποκρούσεως πρὸς Κρόνον φερομένη μετὰ τὴν λύσιν τοῦ συνδέσμου δίχα Διὸς καὶ Ἀφροδίτης ποιεῖ κελεφούς, ἐλεφαντιῶντας, λελωβημένους, ῥευματιζομένους. ὁ Ἄρης ἐν Λέοντι δίχα Διὸς ἢ Ἀφροδίτης σίνη ἢ πάθη περὶ τοὺς ὀφθαλμοὺς ἢ ἀπὸ στομάχου ἢ σπληνὸς ἢ πλευρῶν. ὁ Ἄρης ἐν Παρθένῳ δίχα Διὸς καὶ Ἀφροδίτης ποιεῖ κοιλιακούς, αἱμοπτυϊκούς. ὁ Ἄρης ἐν Ζυγῷ δίχα Ἀφροδίτης καὶ Διὸς ποιεῖ περὶ τοὺς βουβῶνας σίνος ἢ πάθος. ὁ Ἄρης ἐν Σκορπίῳ δίχα Διὸς καὶ Ἀφροδίτης μάλιστα ὡρονομῶν περὶ τὰ μόρια ἢ τὰ σπλάγχνα ἢ τὰ ἄκρα τὸ σίνος ἢ τὸ πάθος δίδωσι. ὁ Ἄρης ἀπέχων τοῦ Ἡλίου μοίρας πβ′ ἑῷος ἢ ἑσπέριος σίνος ποιεῖ περὶ τὸ σῶμα ἢ βλάβος περὶ τοὺς ὀφθαλμούς. τὸ αὐτὸ δὲ καὶ ὁ Κρόνος ἐν τοῖς προειρημένοις ζῳδίοις παρὼν ἀποτελεῖ.

Ἀλλ᾽ ἐπειδὴ τὰ λοιπὰ κεφάλαια μετὰ συσχηματισμῶν εἶπον οἱ παλαιοὶ καὶ οὐ μονοειδῆ, ταῦτα οὐχ ὑπέταξαν· ὁ Ἄρης καὶ ὁ Κρόνος ἐν τῷ ϛ′ ἢ ιβ′ κρυπτὰ πάθη ποιοῦσιν καὶ καρκίνου ἕλκος παρέχουσιν. Κρόνος καὶ Ἄρης καὶ Ἀφροδίτη καὶ Σελήνη ἐν Ἰχθύσιν ἢ Σκορπίῳ ἢ Καρκίνῳ λέπρας ἢ ἀλφοὺς ἢ λειχῆνας ποιοῦσιν. Ἀφροδίτη * ὡροσκό-

1 ἀσινεῖς γίνονται AB : σίνος ποιοῦσι P. 1-4 cf. p 156, 23 ss. 1 ἐὰν P : εἰ δὲ AB. τύχῃ om. AB. 2 τῶν τέκνων ποιοῦσι P : τῶν ἐντὸς ποιεῖ AB; corr. ex p. 156, 25. τύχωσι om. AB. 3 κριθοντ᾽ (ut vid.) ἕξει P. ἐκεῖ τύχωσιν om. AB. 3-4 ἀσινεῖς μὲν γίνονται AB. 4 δὲ om P. βλαβήσονται AB. 5-6 Εἰσὶ δὲ — οἷον om. AB. 6 cf. supra loc. VI, p. 156, 9. τόπῳ om. AB. 7 κ. διάμ. ἢ κ. σῶμα AB. 8 ξηλόποδας P. Leg. κυλλόποδας? δύνων om P. ἐν om. A. ιβ′ τοῦ ὡροσκόπου AB ποιεῖ πάθος A ; ποιεῖ πάθη P : πάθος περιποιεῖ B. 9-10 δύνων δὲ ἀκρόνυχος (om. ὁ Ἄρης) AB. 10 ποιεῖ om. AB. συρηγκῶδεις sic P. ἡ om. AB. 11 λύσιν AB : κλησ᾽ P. Fort. ἔκλυσιν. 12 ποιεῖ κελιφους (ι dubium) P : om. AB; corr. Delcourt. λωβούς AB. 13 ὁ om. AB. ἐν Λέοντι P : Λέοντι A : Καρκίνῳ B sign. astr. δίχα P : χωρὶς AB. ἢ σίνοι P. 14 καὶ σπληνῶν ἢ πλευρᾶς P. 15 ὁ om. AB. 15-16 δίχα Διός — ἐν Ζυγῷ om AB. 16 δίχα P : χωρὶς AB. καὶ om. AB. ποιεῖ om AB. 16-17 σίνη περὶ τ. β. ἢ πάθος AB. 17 Ἄρης Σκορπίῳ χωρὶς AB. καὶ om. AB. 18 ὡρ(οσκόπῳ) AB. τὸ ... ἢ τὸ om. P. 19 ποιεῖ AB. ὁ om. AB. 20 τὸ σῶμα ποιεῖ AB. τὰ δ᾽ αὐτὰ AB. 21 εἰρημένοις AB. ποιεῖ παρὼν AB. 22-23 ἀλλ᾽ ἐπ. — ὑπέταξαν om. AB. μόνον εἴδη P; corr. 23 οὐχὶ πέταξαν P; corr. ὁ ... καὶ ὁ om. AB. 24 ποιεῖ P. 25 Σελήνη P : ἥλιος (sign. astr.) AB. 26 ἢ ... ἢ om. AB. Post Ἀφροδίτη supplendum, καὶ Κρόνός vel Ἄρης, nam Venus sola non est malefica. 26-p. 190, 1 ὡρ(οσκόπῳ) AB.

Digitized by Microsoft®

ποῦσα δυσουρίαν ἢ στραγγουρίαν ποιεῖ. ὁ ὡροσκόπος καὶ ἡ Σελήνη ὑπὸ κακοποιῶν θεωρούμενοι ἐπινόσους καὶ ἀσθενεῖς ποιοῦσι τὰς γενέσεις. ἡ Σελήνη καὶ ὁ Ἄρης δύνοντες ὀφθαλμοὺς βλάπτουσι ἢ αἰχμαλώτους ποιοῦσι. ὁ Κρόνος ἐν τῷ ιβ' ἢ ἐν τῷ ϛ' ἐν καθύγρῳ ζῳδίῳ ἢ τοὺς σπερματικοὺς τόπους σινοῖ ἢ τοὺς πόδας ἢ χρόνιον ἕλκος ποιεῖ.

Πολλοὶ μὲν οὖν ἐπεσημήναντο <ὅτι> οἱ φθοροποιοὶ ἐπιθεωροῦντες τοὺς φωστῆρας κατὰ παρουσίαν ἢ διάμετρον ἢ τετράγωνον ἢ ἐν ταῖς ἐπαναφερομέναις μοίραις ἢ ζῳδίοις βλάπτουσι τὰς ὄψεις ἢ τοὺς ὀφθαλμοὺς δίχα τῆς τῶν ἀγαθῶν ἐπιθεωρίας καὶ μάλιστα μὲν ἐὰν ἡ Σελήνη λείπῃ καὶ ὁ Κρόνος νυκτὸς ἐπιθεωρήσῃ, μεστὴν δὲ ὁ Ἄρης ἐπὶ ἡμέρας, καὶ πάλιν ὅταν ἐπικέντρων ὄντων τῶν κακοποιῶν οἱ φωστῆρες ἐπαναφέρονται· καὶ ὁ μὲν τοῦ Κρόνου τὸ σίνος παρέχων, καθὼς προκεῖται, δι' ἐπιρευματισμῶν καὶ ψύξεως καὶ ἐπιχύσεως ποιεῖ τὰ σίνη· ὁ δὲ τοῦ Ἄρεως ἀπὸ πληγῆς ἢ κρούσματος ἢ πυρὸς ἢ σιδήρου ἢ θερμοῦ ῥεύματος. μετὰ δὲ Ἑρμοῦ συσχηματισθεὶς καὶ θεωρῶν τὸν Ἥλιον ἢ τὴν Σελήνην ἐν παλαίστραις ἢ γυμνασίοις ἢ κακούργων ἐφόδοις.

ξβ'. Περὶ μοιρῶν σινωτικῶν ὀφθαλμῶν[1].

Χαίτη Λέοντος ἀπὸ μοίρας κζ' λϛ' ἕως μοίρας κη'.

Κέντρον Σκορπίου Τοξότου μοίρᾳ α' κράσεως Ἀφροδίτης καὶ Ἄρεως.

Μέτωπον Σκορπίου ἀπὸ μοίρας θ' ϛ' ἕως μοίρας ι' κράσεως Ἄρεως καὶ Κρόνου.

1 ποιεῖ om. A. ὁ om. P. 2-3 ποιοῦσι τὰς γενέσεις om. AB. ποιεῖ cod.; corr. 3 ἡ ... ὁ om. AB. δύνων AB. βλάπτει A. 4 αἰχμαλώτον A : ἐγχμαλώτους P. ὁ om. AB. τοῖς ιβ' B. δωδεκάτῳ P. ἐν τῷ om. AP. 5 χρόνιον P : χειρῶν A. 7-18 πολλοὶ μὲν κ. τ. λ. usque ad finem om. AB. Excerpta sunt ex astrologo Anonymo anni 379, *Catal.*, V, 1, p. 208, 1 ss. 7-8 ὅτι om. cod.: suppl. ex Anon. 11 λείπῃ corr. : λύπει sic cod, corr. 12 μεστὼς cod. 14 καθὼς προκεῖται] cf. supra p. 87, 23 ss., sed Anonymus item habet καθὼς πρόκειται, i. e. « si aster positus est ut supra indicavimus »? 15 Leg. ὑποχύσεως? cf. An., p. 208, 11. 19 **P**(arisinus 2425), f. 120. Edidi in *Catal.*, V, 1, p. 226, ex codicibus Paris. 2506, f. 11 (= **A**) et Marciano 335, qui est noster Venetus 7, f. 100 ss. (= **B**) Μοῖραι σινωτικαὶ ὀφθαλμῶν AB. 20 Χαίτη] ἔτην P. μοιρῶν P : om. AB. ἕως AB : μέχρι P. μοιρῶν P : om. A. 22 κράσις P. Ἄρεως PA : Διὸς B.

[1] Similia inveniuntur in *Catal.*, VII, p. 111-112 (ex Rhetorio) et V, 1, p. 170 (ex Apomasare) et supra p. 187, 22 ss. Etsi numeri nonnulli corrupti sunt vel perperam a scripore computati, apparet longitudines stellarum, quae hic praebentur, 3° 26' a Ptolemaeo differre, unde efficitur haec circa annum 480 scripta esse. Fortasse ex Iuliani Laodicensis libro hoc capitulum Rhetorius transcripsit; cf. quae *Mél. École française de Rome*, 1918, p. 43 ss. disserui. Attamen ex astrologo Aegyptio haec

Digitized by Microsoft®

Ἡ ἀκὶς τοῦ Τοξότου μοίρᾳ ζ′ νϛ′.
Ἡ Πλεΐας Ταύρου ἀπὸ μοίρας ε′ λϛ′ ἕως ζ′ η′.
Τὸ νεφέλιον τοῦ Καρκίνου ἀπὸ μοίρας ι′ ἕως ιε′.
Ὁ ὀφθαλμὸς τοῦ Τοξότου μοίρᾳ ιϛ′ λϛ′.
Ἡ κάλπις τοῦ Ὑδροχόου ἀπὸ μοίρας ιη′ ιϛ′ ἕως μοίρας ιθ′.
Ἡ ἄκανθα τοῦ Αἰγόκερω ἀπὸ μοίρας κϛ′ μϛ′ ἕως κθ′.

ξγ′. Περὶ φαλακρῶν.

Κυρίως μὲν καὶ ὡς ἐπὶ τὸ πλεῖστον οἱ Λεοντιανοὶ καὶ Παρθενιανοὶ καὶ Σκορπιανοὶ καὶ Τοξιανοὶ φαλακροὶ γίνονται ἢ ἀναφαλαντιαῖοι. ἰδικῶς δὲ ὅσοι ἔχουσι τὸν κλῆρον τῆς τύχης ἢ τοῦ δαίμονος ἢ τοὺς κυρίους αὐτῶν ἐν Κριῷ φαλακροὶ ἢ ἀναφαλαντιαῖοι γίνονται· ὁμοίως δὲ καὶ ἐν Τοξότῃ καὶ ἐν Λέοντι καὶ Αἰγοκέρωτι καὶ Σκορπίῳ <καὶ> Καρκίνῳ· οἱ γὰρ Αἰγοκεριανοὶ μᾶλλον ἀναφαλαντιαῖοι γίγνονται.

ξδ′. Περὶ ποδαγρῶν.

Ὅσοι ἔχουσι τὸν κλῆρον τῆς τύχης ἢ τοῦ δαίμονος ἢ τοὺς κυρίους αὐτῶν ἐν τῷ Τοξότῃ ἢ ἐν τῷ Αἰγοκέρωτι ἢ Ὑδροχόῳ ἢ Ἰχθύσι ποδαγροὶ ἢ ῥευματικοὶ γίνονται μάλιστα Κρόνου αὐτοῖς ἐπιθεωροῦντος. εἰ δὲ ἐν ἄλλῳ ζῳδίῳ τύχῃ ὁ κλῆρος τῆς τύχης ἢ ὁ κύριος αὐτοῦ ὑπὸ Κρόνου θεωρούμενος, καὶ οὕτω ῥευματικοὺς ποιεῖ περὶ τοὺς πόδας

1 Ἰακὶς P. μοίρας P : om. AB. 2 Ταύρου P : ἡμέρας (signo astrol.) AB. ζ′ ϛ′ AB. 3 Legendum ιβ′ ἕως ιε′. 4 μοίρας P : μοίρ˙ A. ιϛ′ λϛ′ AB : ιη′ λϛ′ P. 5 μοίρας om. B. 7 **P**(arisinus) 2425, f. 120; cf. *Catal.*, VII, p. 112, 7. 8 (Κ)ύριος cod. 10 ὅσοι corr.; cf. v. 15 : ὧσι cod. 10-11 τοῦ κυρίου cod., cf. ibid. 12 καὶ suppl. 14 **P**, f. 120: **A** (= Paris. 2506), f. 14; cf. *Catal.*, VII, p. 112, 8, ubi ποδαλγιῶν, ποδαλγίας ubique. Κεφάλαια ποδαγρῶν A. 16 ἐν τῷ ... ἢ ἐν τῷ ... ἢ ... ἢ om. A. 17-18 Κρόνου — ἐπιθεωροῦντος P : θεωροῦντα Κρόν(ον) A. 18 δὲ om. A. τῆς τύχης κλῆρος A. ἢ P : καὶ A. 19 οὗτος A. ποιεῖ περὶ om. A.

---

hausta esse videntur, nam Aegyptii saepe lippitudinibus laborabant et laborant. Inter ibros medicinales cuius auctorem Hermetem Trismegistum sacerdotes Aegyptii praedicabant, unus exstabat Περὶ ὀφθαλμῶν, teste Clemente Alexandrino (*Strom.*, VI, 37, 3, p. 430, Stähelin). Impios ab Iside obcaecari (cf. Iuv., XIII, 93 : « Isis et irato feriat mea lumina sistro »), ab eademque oculos sanari vulgo credebatur (Roussel, *Cultes égyptiens à Délos*, 1916, p. 290). Sed astrologi, ut ex hoc capitulo constat, stellis quibusdam perniciosis huiusmodi morbos induci autumabant. Nec mirum est viros qui instrumentorum nostrorum subsidio destituti intenter stellas observabant, saepe luminum aciem amisisse. Quod contagione quadam fieri credebant « nebulosarum constellationum » (τῶν νεφελοειδῶν συστροφῶν supra *Catal.*, V, p. 208, 17), de quibus eruditissime disseruit Franciscus Boll, *Antike Beobachtungen* [l. c., supra p. 175 adn.], p. 63 ss.

Digitized by Microsoft®

καὶ τὰς χεῖρας, ἐξαιρέτως δὲ Διδύμοις ἢ Καρκίνῳ. — Ζήτει δὲ καὶ ἐν τῷ α' βιβλίῳ Οὐάλεντος ποίων μελῶν κυριεύουσιν οἱ ἑπτὰ ἀστέρες καὶ ὃς ἂν αὐτῶν εὑρεθῇ κύριος τύχης ἢ δαίμονος καὶ ὑπὸ κακοποιῶν θεωρηθῇ, κατ' ἐκεῖνο τὸ μέλος τὸ σίνος καὶ τὸ πάθος δίδωσι, καθ' ὃ κυριεύει. εἰ δὲ τύχωσιν οἱ δύο κλῆροι καὶ οἱ κύριοι αὐτῶν ἐν τοῖς κυρτοειδέσι ζῳδίοις, κυρτοὺς ποιοῦσιν. ὁ δὲ Κρόνος ἐν Λέοντι τὸν πατέρα βλάπτει ἀπὸ ποδάγρας ἢ ὑγρῶν ὀχλήσεως ἢ βιοθάνατον ποιεῖ.

ξε'. Περὶ μαινομένων καὶ ἐπιληπτικῶν.

Ἐὰν ἡ Σελήνη καὶ <ὁ> Κρόνος ὡροσκοπῶσιν, ὁ δὲ Ἑρμῆς δύνῃ κατὰ κέντρον, μαινομένους καὶ φρενοβλαβεῖς ποιοῦσιν, δίχα τῆς τῶν ἀγαθῶν ἐπιθεωρίας. ἐὰν ὁ Ἄρης δύνῃ, ὁ δὲ Κρόνος καὶ <ὁ> Ἑρμῆς ὡροσκοπῶσιν δίχα Διὸς καὶ Ἀφροδίτης, μαινομένους καὶ φρενοβλαβεῖς ποιοῦσιν. ἐὰν ὁ Ἥλιος καὶ ἡ Σελήνη ὡροσκοπῶσιν, ὁ δὲ Κρόνος δύνῃ δίχα Διὸς καὶ Ἀφροδίτης, λυσσῶντας καὶ μαινομένους ποιοῦσιν. ἐὰν δὲ Κρόνος καὶ Ἑρμῆς ὡροσκοπῶσι, ὁ δὲ Ζεὺς δύνῃ, μωροὺς καὶ ἀφρόνους ἢ ἀνοήτους ποιοῦσιν. ἐὰν ἡ Ἀφροδίτη ἐμπεριέχηται ὑπὸ Κρόνου καὶ Ἄρεως ἐν ἑνὶ ζῳδίῳ, τετραγωνίζηται δὲ ὑπὸ Σελήνης καὶ Ἑρμοῦ, ποιοῦσι θεοφορουμένους καὶ φοιβαζομένους καὶ ἐνθέους. ἡ Σελήνη ὡροσκοποῦσα καὶ Κρόνος μεσουρανῶν καὶ Ἑρμῆς δύνων παραπληκτικοὺς καὶ φρενοβλαβεῖς ποιοῦσι. Σελήνη καὶ Ἄρης καὶ Ἑρμῆς ἐπίκεντροι τυχόντες δίχα Διὸς καὶ Ἀφροδίτης ποιοῦσι λῃστάς, κλέπτας, θυρεπανοίκτας· εἰ δὲ καὶ Κρόνος ὢν ἐν τῷ ὑπογείῳ τούτους ἐπιθεωρήσει, τυμβωρύχους ποιεῖ. ἐὰν Ἄρης καὶ Ἑρμῆς ἐν τῷ δυτικῷ κέντρῳ τύχωνται, [καὶ] ὑπὸ Σελήνης θεωρούμενοι κατὰ διάμετρον ἢ τετράγωνον, λῃστάς, ἀνδροφό-

1 χεῖρας ποιεῖ A. 1-2 ἐν τῷ α' β. Οὐάλεντος om. P (praef., p. 116); cf. Vett. Val., I, 1. 2-5 κυριεύουσιν — κυριεύει] κυριεύει ἕκαστος τῶν ζῳδίων· καὶ ὃς ἂν κακωθῇ, ἐκεῖ ἔσται τὸ σίνος ἢ τὸ πάθος ἔνθα κυριεύει A. 3 ὡς codd.: ὃς corr. τύχη codd.; corr. 6 κυρτοὶ γίνονται A. ὁ δὲ om. A. 7 ὀχλήσεων P et *Catal.*, l. c. 8 **P**, f. 120r; **A**, f. 14; cf. *Catal.*, VII, p. 112, 11 ss. Κεφάλαια μαινομένων ἐπιληπτῶν καὶ παρέτων A. 9 ἡ om. P. ὁ add. ὡροσκοπῇ P: ὡρ' A. 10 κέντρον P: νύκτα A; cf. *Catal.*, l. c. μαινόμενοι A. 10-11 γίνονται, εἰ μὴ Ζεὺς ἢ Ἀφροδίτη ἴδοιεν A. 11 ὁ om. A. ὁ Κρόνος P: Κρόνος δὲ A. ὁ suppl. 12 δίχα P: ἄνευ A. μαινόμενοι P. 13 ποιοῦσιν om. A. ὁ om. A. ἡ om. A. δύνῃ om. A. 14 δίχα P: χωρὶς A. καὶ om. A. μαινομένους ποιεῖ P: μανιωδεῖς A. ἐὰν δὲ om. A. 15 ὡρ(οσκοποῦντες) Ζεὺς δὲ δύνων A. 15-16 ἀφρόνους ἢ om. A. 16 ποιεῖ P. ἡ om. A. περιέχεται A. Κρόνου P: Διός A. 17 τετραγωνίζονται codd. 17-18 γίνονται θεοφορούμενοι κ. φοιβαζόμενοι καὶ ἔνθους sic A. θηβαζωμ(ένους) P. καὶ ἐνθέους om. P; cf. p. 193, 17. ἡ om. A. 19 καὶ ... καὶ om. A. 19-20 παραπληκτικοὺς καὶ om. A; cf. *Catal.*, l. c., v. 14. 20 φρενοβλάβους P. ποιοῦσι *Catal.*, l. c.: ποιεῖ P: om. A. καὶ ... καὶ om. A ἐπίκοινοι A. τυχόντες om. A. 21 καὶ om. A. ποιεῖ λ. κλ. θυρεπανείκτας (sic) P: λῃσταὶ κλέπται A cet. om. 23 καὶ om. A. 23-p. 193, 1 εἰ δὲ Κρόνος ἐν τῷ δ' ὢν θεωρήσει αὐτούς, τυμβωρύχοι. Κρόνος Ἄρης Ἑρμῆς δύνοντες ὑπὸ Σελήνης ὁρώμενοι ἐκ τετραγώνου ἢ διαμέτρου λῃστὰς ποιοῦσι A.

Digitized by Microsoft®

νους ποιοῦσι σταυρουμένους ἢ κρημνιζομένους. Ἄρης καὶ Ἑρμῆς ἐπικέντροι τυχόντες καὶ ἰσόμοιροι δίχα τῆς τῶν ἀγαθῶν ἐπιθεωρίας ποιοῦσι ψεύστας, ψευδοκατηγόρους, πλαστογράφους, ἐπιόρκους. ἐὰν δὲ Κρόνος καὶ Σελήνη ἐπιθεωρήσωσιν, ποιοῦσι ῥυπαρούς, γόητας, νεκυομάντεις· ἡ Σελήνη μεστὴ κατὰ σῶμα ἀπορρέουσα τὸν Κρόνον ἀποπληκτοὺς ἢ μαινομένους ποιεῖ, ἔσθ' ὅτε δὲ καὶ τυφλούς. ἀποκρουστικὴ δὲ τὸν Ἄρην κατὰ σῶμα ἀπορρέουσα τὸ αὐτὸ ποιεῖ. ἐὰν ὁ Ἄρης ὡροσκοπῇ, ὁ δὲ Ζεὺς ἰσομοίρως δύνῃ τῶν ἄλλων ἀποστρόφων ὄντων θεοφορουμένους ποιεῖ. ἐὰν ὁ Κρόνος διέπῃ τὴν Σελήνην διαμετρῶν αὐτὴν, ἔσται τὸ γεννηθὲν θεοφορούμενον, ἐπιληπτικόν· ἐὰν οἱ τριγωνικοὶ δεσπόται τοῦ αἱρετικοῦ φωτὸς διάμετροι τύχωσι καὶ ὑπὸ κακοποιῶν θεωρηθῶσιν, ἐπιληπτικοὺς ποιοῦσι μάλιστα τοῦ ὡροσκόπου ἢ τοῦ κυρίου αὐτοῦ ὑπὸ Κρόνου ἢ Ἄρεως θεωρουμένου. ὁ Ἑρμῆς πάντοτε ἀπόστροφος ὢν τοῦ ὡροσκόπου καὶ τῆς Σελήνης ἐπιληψίας ποιεῖ· εἰ δὲ καὶ κακοποιὸς ἐπιθεωρήσῃ, δαιμονιοπλήκτους ποιεῖ. ἡ Σελήνη σύνδεσμον πανσεληνιακὸν ἔχουσα ποιεῖ θεολήπτους, ἐνθέους, φοιβαζομένους· ἐὰν δὲ καὶ Ἄρης ἐπιθεωρήσῃ, ποιεῖ δαιμονιοπλήκτους ἢ μαινομένους. ἐὰν ὁ κύριος τοῦ κλήρου τῆς τύχης ἢ τοῦ δαίμονος ἐν τῷ θ' ἢ τῷ γ' τύχωσιν ὑπὸ κακοποιῶν ἐναντιούμενοι, ἀποφθεγγομένους ἢ μανιώδεις ἢ προγνωστικοὺς ποιοῦσι. ἡ Σελήνη συνοδικὴν ἔχουσα φάσιν ἢ πανσεληνιακὴν καὶ ὑπὸ Κρόνου θεωρουμένη δίχα Διὸς ἢ Ἀφροδίτης δαιμονιοπλήκτους ποιεῖ· ἐπὶ δὲ πανσελήνου ὑπὸ Ἄρεως μόνου θεωρουμένη μάλιστα ἐν τῷ Τοξότῃ καὶ ἐν Ἰχθύσι, ** ὁ μὲν Ζεὺς ἐπιθεωρῶν θεραπείας δίδωσι ἀπὸ ἰατρῶν ἢ διαίτης

1 καὶ om. A. 2-3 ἐπίκοινοι ἰσόμενοι (sic) μὴ ὁρῶντος Διός ἢ Ἀφροδίτης ψεύστας, πλαστογράφους A; cf. *Catal.*, l. c., v. 15. 3 πλαστογράφους om, P. 4 ἐὰν δὲ καὶ] εἰ δὲ A : καὶ P. καὶ Σελήνη om. A. θεωρήσει A. ποιοῦσι om. A. 5 ἡ om. A. κατὰ σῶμα ἀπορρέουσα P : ἀπορρέουσα σωματικῶς A. 5-6 Leg. τοῦ Κρόνου? sed cf v. 7. 6 ἀποπλέκτους A. ποιοῦσι P : om. A; corr. 7 ἀποκρουστικὴ A : λοιποῦσας (sic) P. ἀπορρέουσα Ἄρην τὸ αὐτὸ A. 8 ἐὰν — δύνῃ] Ἄρης ὡροσκοπῶν ἐὰν Ζεὺς δίχα ἰσομοίρως A. ἰσόμοιρος P. 9-10 ἐὰν ὁ — ἐπιληπτικόν om. A. 10 αὐτή P; corr. 11 ἐὰν om. A, τρίγωνοι A. τύχωσι καὶ P : ὄντες A. 12 θεωρηθῶσιν P : ὁρώμενοι A. ἐπιλήπτους (om. ποιοῦσι) A. 12-13 τοῦ ὡροσκόπου — Κρόνου ἢ om. P. 13 ὁ om. A. 14-15 ἐπιληψίας P; cf. *Catal.*, l. c., v. 18 : ἐπιλήπτους A. 15 κακοποιὸς ἐπιθεωρίσει P : κακῶς ἐπιθεωρήσῃ *Catal.*, l. c. : Κρόνος ἢ Ἄρης ὁρᾷ A. 15-16 ποιεῖ. ἡ om. A. 16 σύνδ. πανσ. ἔχουσα ποιεῖ P; cf. *Catal.*, v. 19 : πανσεληνιάζουσα ὑπὸ συνδέσμων A. ἐνθέους A : ἢ καὶ P. 17 φηβαζωμένους (φη ex θη corr.) P, cf. p. 192, 18. ἐὰν P : εἰ A. ἐπιθεωρηθῇ P : ὁρᾷ A. ποιεῖ om. A. 18 ἐὰν om. A. κλήρου A : κ- (i. e. κέντρου) P. 19 θ' ἢ τῷ om. A. τύχωσιν om. A. ὑπὸ Κρόνου ἢ Ἄρεως ἐναντιούμενος A. 19-20 ὑποφεγκομένους P; cf. p. 194, 4. 20 ἢ (prius) om. P. ποιοῦσι· ἡ om. A. 21 ἔχουσα φάσιν A : φαῦσιν ποιοῦσα P. πανσέληνος signo astr. A. καὶ om. A. θεωρουμένη P : ὁρωμένη A. 22 Διός ἢ om. A. ἢ corr. : καὶ P. ποιεῖ om. A. πανσελίνου P : συνόδου (sign. astr.) A. 23 μόνου θεωρουμένη om. A. τῷ om. A. ἐν om. P. 24-p. 194, 1 ὁ μὲν Ζεὺς — ἐπικουρίας om. A. 24 lacunam signavi. δηέτηι P; corr.

Digitized by Microsoft®

ἢ φαρμακείας, ἡ δὲ Σελήνη ἀπὸ χρησμῶν καὶ τῆς τῶν θεῶν ἐπικουρίας. ὁ Ἄρης ἢ <ὁ> Κρόνος ἐν τῷ ὑπὸ γῆς δαιμονιοπλήκτους ἢ ὑπὸ εἰδώλων φοβεριζομένους[1]· εἰ δὲ καὶ Ἀφροδίτη συνῇ, ποίει θεοφορουμένους ἢ ἀποφθεγγομένους. Κρόνος ἢ Ἄρης ἐπικείμενοι τῷ δαίμονι ἢ διαμετροῦντες μανιώδεις ἢ ἐκστατικοὺς ποιοῦσιν δίχα Διὸς καὶ Ἀφροδίτης· τὸ δὲ αὐτὸ νόει καὶ ἐπὶ τῶν συνόδων <ἢ> πανσελήνων. ὁ κύριος τοῦ κλήρου τοῦ δαίμονος ἐναγτιούμενος αὐτῷ ποιεῖ ἀκριτοβούλους, ἐναντιόφρονας, ἀλαζόνας, ὑβριστάς.

ξϛ'. Περὶ ἀσελγῶν καὶ μεθυστῶν καὶ ἐμπαθῶν.

Ἡ Ἀφροδίτη οἴκοις Ἑρμοῦ τοῦ Ἑρμοῦ κακῶς κειμένου παιδεραστὰς ποιεῖ. ὁ κλῆρος τοῦ γάμου οἴκοις Ἑρμοῦ, τοῦ Ἑρμοῦ ἐν ἀρσενικῷ ἐπικέντρου ὄντος, τὸ αὐτὸ ποιεῖ. Ἄρης καὶ Ἑρμῆς ἐναλλάξαντες τοὺς ἀλλήλων οἴκους ἢ τετραγωνίζοντες ἀλλήλους ἢ διαμετροῦντες παιδεραστὰς ποιοῦσιν. ἡ Ἀφροδίτη Αἰγοκέρωτι ἢ Ἰχθύσιν ἢ Σκορπίῳ ἢ Ταύρῳ ὑπὸ Κρόνου ἢ Ἄρεως θεωρουμένη ἀσελγεῖς ποιεῖ, μάλιστα ὕπαυγος. <ἡ> Ἀφροδίτη οἴκοις Κρόνου ἢ Ἄρεως ὑπ' αὐτῶν θεωρουμένη ἀσελγεῖς ποιεῖ. ἡ Ἀφροδίτη καὶ Ἑρμῆς καὶ Ἄρης θεωρήσαντες ἀλλήλους ἀσελγεῖς ποιοῦσι. ἡ Ἀφροδίτη καὶ ἡ Σελήνη ἐν τῷ δύνοντι

1 Leg. ἡ Ἀφροδίτη? cf. supra cap. ξα', p. 188, 9. χρηστῶν P; corr. 2 ὁ et ἢ om. A. ὁ suppl. ὑπὸ γῆς P : δ' A (i. e. in quarto loco). 3 φωβεριζωμένους sic P : δειματουμένους A. σινοῖ P. ποιεῖ om. A. 3-4 θεωφορουμένη ἢ ἀποφθεγκομένη P. 4-6 Κρόνος ἢ Ἄρης — πανσελήνων om. A; cf. *Catal.*, l. c., v. 20 ss. 4 τῶν cum signo daemonis (i. e. τὸν δαίμονα) P. 6 ἢ suppl. Boll. ἡνίκα ὁ κύριος, *Catal.*, l. c. 7 κλήρου A : κ- (i. e. κέντρου) P. ἑαυτῷ A : ἑαυτὸ P; cf. *Catal.* ποιεῖ om. A. 7-8 ἀκριτοβώλους τὰ ἐναντία φρονοῦντας P. 8 καὶ ὑμβρηστάς P. 9 **P**, f. 121ʳ; **A**, f. 14, cap. ζ'; cf. *Catal.*, VII, p. 113, 2-10. Κεφάλαια ἀσελγῶν ἐμπαθῶν μεθύσσων (sic) μοιχῶν A. 10 ἡ om. A. ἡ Ἀφροδίτης deinde signum Veneris P. οἴκος A : ἥτις P; corr. τοῦ Ἑρμοῦ om. P. κειμένη P. παιδεραστὰς litteris cryptographicis A. 11 γάμου litt. crypt. A. οἶκος Ἑρμοῦ τοῦ Ἑρμοῦ A : ἥτις Ἑρμ(οῦ) ὁ Ἑρμ(ῆς) (signis astr.) P. 12 ἐπικ(έντρου) ὄντος A : ἐπίκεντρος P. καὶ om. A. 12-13 τοῖς οἴκοις ἀλλήλων P. 13 τετραγωνήσαντες ut vid. A. ἀλλήλων ἢ διαμετρίσαντες P : τετράγωνοι ἢ διάμετροι (signis astr.) ἀλλήλοις A. 13-14 τὸ αὐτὸ ποιοῦσι A. 14 ἡ om. A. Σκορπίῳ P : signum dubium A. 15 ὁρωμένη A. ποιεῖ om. A. 16 ὑπαύγους P. ἡ add. οἴκου A. ὑπ' P : ἐπ' A. 17 ἀσελγεῖς P : τὸ αὐτὸ A. ἡ ... καὶ ... καὶ om. A. 17-18 θεωρίσανταις (sic) ἀλλήλους P : ἀλλήλους ὁρῶντες A. 18 ποιοῦσι om. A. ἡ ... καὶ ἡ om. A. δύνοντι P : δ' A (i. e. ὑπογείῳ).

[1] Fuit, opinor, ἀπὸ εἰδώλων φοιβαζομένους (cf. supra pp. 192, 18; 193, 17), quod aliis verbis dicit Vettius Valens, p. 112, 34 (νεκρῶν εἰδωλοποιητάς); cf. p. 67, 5; 113, 16, Kroll. Necromantios producunt malefici planetae in imo medio caelo, quia ibi collocabantur inferi (cf. supra p. 149, n. 1), unde umbras elicere ars magorum pessima docebat. — Vide etiam supra p. 182, 22 praedictiones per mortuos.

Digitized by Microsoft®

τὰς μὲν γυναῖκας ἀσελγεῖς ποιοῦσι, τοὺς δὲ ἄνδρας μαλακούς, πλέον δὲ εἰ καὶ ὑπὸ Κρόνου ἢ Ἄρεως θεωρηθῶσιν. ὁ Ἥλιος καὶ ἡ Σελήνη πρὸς ἀλλήλους τρίγωνοι μοιχικούς, πολυτόλμους ποιοῦσι τοὺς ἄνδρας, μάλιστα δὲ τὰς γυναῖκας. ἡ Ἀφροδίτη ὑπὸ γῆν ἐν ἀρσενικοῖς ζῳδίοις πολυψόγους γυναῖκας ποιεῖ· ἐὰν δὲ στηρίζῃ, μαλακούς. ὁ Ἄρης τὴν Ἀφροδίτην ἰσομοίρως θεωρῶν κατὰ τρίγωνον ἢ τετράγωνον ἢ διάμετρον ἐν τροπικοῖς ζῳδίοις καὶ ἀλλήλων τὰ δωδεκατημόρια ὑποδεξάμενοι ἢ ἐπιθεωρήσαντες, ποιοῦσι μεθυστάς, μοιχούς, ἀναστάτους· εἰ δὲ Κρόνος ἐπιθεωρήσῃ, ποιεῖ κιναίδους, ἀσελγεῖς, μάλιστα ἐν θηλυκοῖς ζῳδίοις. ἡ Ἀφροδίτη ἐν τῷ ἕκτῳ παιδεραστὰς ποιεῖ· ἡ Ἀφροδίτη ἐν τῷ ἐννάτῳ κακίστη πρὸς γάμον τοῖς ἀνδράσιν, ταῖς δὲ γυναιξὶν ἀγαθή. ὁ Ἄρης ἐν τῷ ἐννάτῳ κακὸς ὑπάρχει. ἡ Σελήνη δὲ ὡροσκοποῦσα καὶ ἡ Ἀφροδίτη ἐν τετραπόδοις ζῳδίοις τὰς μὲν γυναῖκας ἀσελγοπύγους ποιοῦσιν, τοὺς δὲ ἄνδρας λείκτας καὶ αἰσχροποιούς.

ΞΖʹ. Περὶ τόπων καὶ μοιρῶν ἀσελγοποιῶν καὶ ἐμπαθῶν.

Ὁ ὡροσκόπος Κριοῦ μοίραις ιγʹ ιδʹ κβʹ κδʹ κζʹ κηʹ λʹ ἐμπαθεῖς καὶ ἀσελγεῖς ποιεῖ. ὁ ὡροσκόπος Ταύρῳ, μοίραις αὐτοῦ τῶν Ὑάδων, ἀπὸ μοίρας ιβʹ ἕως ιζʹ, ὡροσκόπος Λέοντι ἀπὸ μοίρας κεʹ ἕως λʹ, ὡροσκόπος Αἰγοκέρωτι ιαʹ ιβʹ· ἐπὶ τούτων τῶν μοιρῶν δέον παρατηρεῖν τὸν ὡροσκόπον καὶ τὸν δύνοντα καὶ τὴν Ἀφροδίτην καὶ τὴν Σελήνην καὶ τὸν κλῆρον τῆς τύχης καὶ τὸν κλῆρον τοῦ γάμου καὶ τοῦ ἔρωτος. καὶ τόποι μαλακοποιοί εἰσιν αἱ τελευταῖαι μοῖραι Κριοῦ, Λέοντος, Τοξότου. οἱ οὖν

Ὁ δὲ τῆς Ἀφροδίτης τὸ πράσσειν παρέχων ποιεῖ μυροπώλας ἢ οἰνοπώλας ἢ ἀνθοπώλας ἢ χρωμάτων ἢ βαφῶν ἢ ἀρωμάτων πραγματεύτας ἢ φαρμακοπώλας, ὑφαντάς, ζωγράφους, βαφέας, ἱματιοπώλας, καὶ ὅσα πρὸς γυναικεῖον κόσμον ἀνῆκε. ἐὰν ὁ μὲν τοῦ Κρόνου αὐτῇ μαρτυρήσῃ, ἐμπόρους τῶν πρὸς ἀπόλαυσιν καὶ κόσμον, γόητας δὲ καὶ φαρμακοποιούς, ἢ καὶ δημοσίων τόπων ἄρχουσιν ἢ ἱερῶν τοῦ Κρόνου καλῶς κειμένου. ἐὰν δὲ ὁ τοῦ Διὸς μαρτυρήσῃ, ποιεῖ μουσικὸν ἢ ὑποκριτὴν λογίων, ἱερῶν προϊστάμενον ἢ γυναικῶν φροντίζοντα. ὁ δὲ τοῦ Ἄρεως αὐτῷ συμπαρὼν μετὰ μὲν Ἡλίου <συ>σχηματισθεὶς τοὺς διὰ πυρὸς ἐργαζομένους ποιεῖ, μαγείρους, χωνευτάς, καύστας, μεταλλευτάς· χωρὶς δὲ Ἡλίου ἑστὼς τοὺς διὰ σιδήρου τὰς ἐνεργείας ἔχοντας, ναυπηγούς, τέκτονας, γεωργούς, λατόμους, λιθοξόους, λιθουργούς, ξυλοσχίστας. κἂν μὲν ὁ τοῦ Κρόνου αὐτῷ μαρτυρήσῃ, ποιεῖ ναυτικούς, ἀντλητάς, ὑπονομευτάς, θηριοτρόφους, μαγείρους, περιχύτας, βαλανέας. ἐὰν δὲ Ζεὺς μαρτυρήσῃ Ἀφροδίτην καὶ Ἄρεα,

1 Διός corr. ex Ptol.: Ἄρεως (sign. astr.) cod. 2 τὰς suppl. 3 θύτας corr., cf. v. 7 : ἀθετας (sic) cod. 4 τὰς suppl. ex Ptol. 5 κακοδαιμονοῦντι scripsi, i. e. in XII loco; cf. supra p. 129, 18 ss. : κακωτεροδαιμονοῦντ(ι) (τερο dubium) cod. 7 μυθῳδούς corr. : μυδώδας cod. 10 πράσσειν] πρμάξιν m. 2 rescriptum P. 11 συμμαρτυρίσει ac sic saepe cod. 14 ἐπὶ corr.: ἐν δὲ cod. 15 ἡ suppl. 17 ss. cf. Ptol., p. 178, 25 ss. 17 τὸ] τὴν cod. 17-18 μυροπόλους ἢ ὀνωπόλους ἢ ἀνθοπόλους cod. χρημάτων cod., corr. ex Ptol. ἀρωμάτων corr. e Ptol. : βρωμάτων cod. 19 φαρμακοπώλους cod. 19-20 ἱματιοπούλ(ους) cod. 20 ἀνεῖκε cod. 22 φαρμακοποιεῖ cod. 23 μαρτυρίσει cod. 24 ὑπόκτην λόγιον cod.; corr. 25 σχηματισθεὶς cod.; corr. ex Ptol. (p. 179, 12). 26 χωνευτάς, καύστας corr. ex Ptol. : χουγοτὰς σύστας cod.; cf. p. 212, 27. 27 ἑστὼς τοὺς scripsi : εἰς τὼς (λοῦς superscr.) cod.; cf. Ptol., p. 179, 15 : τυχὼν τοὺς. 30 θυριτρόφους cod. περὶ πυρὸς cod. : περιχύτας ex Ptolem. (p. 179, 19) corr. 31 μαλλαναίας cod.; corr. Delcourt; cf. p. 215, 6.

Digitized by Microsoft®

ποιήσει ὑπερέχοντας, στρατιώτας, τελώνας, πανδοχέας, θυσιουργούς.

Ἄρης καὶ Ἑρμῆς τὸ πράσσειν παρέχοντες ποιοῦσιν ἀνδριαντοποιοὺς ἢ τέχνην τινὰ ἀπὸ πυρὸς ἢ σιδήρου, ἢ πάλιν ὁπλουργούς, κατηγόρους, μοιχικούς, ἱερογλύφους, ζωοπλάστας, ἰατρούς, χειρουργούς, κακοπράγμονας, πλαστογράφους. κἂν ὁ τοῦ Κρόνου αὐτοῖς μαρτυρήσῃ, φονέας, ἅρπαγας, ἀπελάτας, λῃστάς. ἐὰν δὲ ὁ τοῦ Διὸς αὐτοῖς μαρτυρήσῃ, φιλομάχους, δράστας, δεινούς, φιλοπράγμονας καὶ ἀλλοτρίων φροντίζοντας.

Ὁ δὲ Ἄρης καὶ ὁ Κρόνος καὶ ὁ Ἥλιος ἐν τοῖς πρακτικοῖς τόποις τυχόντες, ἐξαιρέτως δὲ ὡροσκοποῦντες ἢ μεσουρανοῦντες, ποιοῦσιν ναυτικούς, πλεύστας. καὶ Ἑρμῆς ἐν τῷ γ' καὶ Ἄρης ἐν τῷ θ' κυνηγοὺς ποιοῦσιν. ὁ Ἄρης καὶ ὁ Ἑρμῆς οἴκοις ἢ ὁρίοις Ἀφροδίτης ποιοῦσιν ἰατρούς. ὁ Ἄρης καὶ ὁ Ἑρμῆς ὡροσκοποῦντες ἢ μεσουρανοῦντες ποιοῦσιν φιλόπλους, θρασυτόλμους ἢ ὁπλίτας. Κρόνος ἐπὶ <τοῦ> τῆς πράξεως τόπου παρών, ἐπὰν ὁ Κρόνος παραιρέτης καὶ ἐν ἀλλοτρίῳ ζῳδίῳ τύχῃ ἐν τῷ μεσουρανήματι, τὰς δι' ὑγρῶν ποιεῖ τέχνας, τοῦτ' ἔστι ἀντλητάς, κηπουροὺς ἢ ἁλιεύοντας καὶ τὰς παρύγρους πράξεις παρέχει μετὰ κόπου καὶ μόχθου κάμνοντας. ὁ δὲ Κρόνος καὶ Ἄρης καὶ Σελήνη ὡροσκοποῦντες ἢ μεσουρανοῦντες ποιεῖ φιλοσόφους, ῥήτορας ἢ ἀστρολόγους. τοῦ ὡροσκόπου Καρκίνῳ ἢ Σκορπίῳ ἢ Ἰχθύσι ὄντος Ζεὺς καὶ Κρόνος ὑπογείῳ ποιοῦσι βοτανικοὺς ἢ θηριοδείκτας. ὁ Κρόνος ὡροσκοπῶν Ἄρεως δύνοντος ποιοῦσι κυνηγοὺς ἢ θηριομάχους ἢ κυνοβρώτους. ὁ Κρόνος καὶ ἡ Σελήνη δύνοντες ἐν καθύγροις ζῳδίοις ποιοῦσι ναυτικοὺς ἢ πλευστικούς. ὁ Κρόνος μεσουρανῶν Ἄρης δύνων μισέλληνας, ἀλλοφύλους ποιοῦσιν.

Ἀφροδίτη καὶ Ἄρης τὸν οἶκον δεσποτεύοντες, τὴν οἰκοδεσποτείαν τῆς πράξεως εἰληφότες, ποιοῦσιν βαφέας, μυρεψούς, χωνευτάς, χρυσοχόους, λιθογλύφους, ἀργυροκόπους, ὁπλορχηστάς, φαρμακοποιούς, ἰατρούς. κἂν μὲν ὁ τοῦ Κρόνου αὐτοῖς μαρτυρήσῃ, ἱερῶν ζῴων <θεραπευτὰς> ἤγουν θηρευτάς, ἀνθρώπων ἐνταφιαστάς, θρηνῳδούς, ἐνθουσιαστάς, ὅπου μυστήρια καὶ θρῆνοι καὶ αἱμαγμοὶ τὰς ἀναστροφὰς ποιούμενοι· ἐὰν δὲ ὁ τοῦ Διὸς αὐτοῖς μαρτυρήσῃ, ποιοῦσιν ἱεροπλόκους, οἰωνιστάς, γυναικῶν προϊσταμένους, ἐκγαμιστὰς ἢ μαυλιστάς.

1 πανδοχέας (έας e corr.) cod. θυσούργους cod. 2 ss. cf. Ptol., p. 180, 10 ss. 6 φονέας corr. e Ptol. : φανεροὺς cod. 7 φιλομάχους] φιλοπόνους Ptol. 14 τοῦ] Litura in cod. 15 τόπου corr. : τρόπον cod. Κρόνος] Leg. Ἄρης? 17 ἀντλητάς ex ἀθλητάς correctum, cod. παρύγρας cod. 18 Leg. κάμνουσι? 20 Καρκίνου cod. 21 ὄντες cod. θυριωδήκτας cod.; corr. An θηριοδήκτους? cf infra p. 217, 23. 22 ποιοῦσι cod. 22-23 θυριαμάχους cod.; cf. supra p. 201, 21. 25 ἀλλ' ὁ φίλους cod. 26 ss. cf. Ptol., p. 180, 19 ss. 27 βαφὺς cod. 29 μαρτυρίσει cod., ac sic deinceps. 30 θεραπεύτας suppl. e Ptol. 31 θρόν(οι) cod.; corr., cf. Ptol. 32-33 Leg. ἱεροπροσπόλους ut Ptol.? Sed cf. indicem graecitatis s. v. θεόπλοκος. 33 ὄνιστας sic cod.; corr. e Ptol. ἐκγαμισταί sunt conciliatores nuptiarum. μωλιστάς cod.: corr.

Digitized by Microsoft®

ἐὰν δὲ ὁ Ἥλιος αὐτοῖς μαρτυρήσῃ, νευροβάτας ποιεῖ, μαγγαναρίους· εἰ δὲ καὶ Κρόνος καὶ Ἥλιος αὐτοῖς μαρτυρήσωσιν, οἰκοδόμους ποιοῦσιν ἢ κεραμουργούς.

Ἄρης καὶ Ἀφροδίτη ἰσομοίρως τυχόντες, εἰ καὶ τὰ δωδεκατημόρια τύχωσι τετράγωνα [ἐν] αὐτοῖς ἢ τρίγωνα ἢ διάμετρα, ποιοῦσι μοιχούς, μεθυστάς, ἀπατεῶνας. Ἄρης καὶ Ἀφροδίτη ἐν τοῖς ὑπογείοις ποιοῦσι σχοινοβάτας ἢ θεοφορουμένους. Ἄρης καὶ Ἀφροδίτη ἐν <τῷ> γ' ἢ ἐν τῷ θ' ποιοῦσιν ἰατρούς.

Ἑρμῆς καὶ Ἀφροδίτη τὴν πρᾶξιν παρέχοντες ποιοῦσι τὰς πράξεις ἀπὸ μουσικῆς καὶ ὀργάνων καὶ μελῳδιῶν ἢ ποιημάτων ἢ ὀρχήσεων καὶ ῥυθμῶν, καὶ μάλιστα ὅταν τοὺς τόπους ὦσιν ἐναλλάξαντες. ἀποτελοῦσιν οὖν θυμελικούς, ὑποκρίτας, σωματεμπόρους, ὀργανοποιούς, κιθαρῳδούς, τραγῳδούς, ὑφάντας, πλάστας, ζωγράφους. κἂν ὁ μὲν τοῦ Κρόνου αὐτοῖς μαρτυρήσῃ, ποιεῖ ἐμπορευομένους κόσμους γυναικείους. ἐὰν δὲ ὁ τοῦ Διὸς αὐτοῖς μαρτυρήσῃ, ποιοῦσιν δικολόγους, λογιστηρίων προϊσταμένους, παίδων διδασκάλους, ὄχλων προεστῶτας, κεκοσμημένους.

Ἐὰν μὲν Ἑρμῆς καὶ Ἀφροδίτη ὡροσκοπῶσι καὶ Ζεὺς δύνῃ, ποιοῦσι μουσικοὺς ἢ φωνικοὺς ἢ ἀθλητάς. εἰ δὲ εἰς τὸν τῆς πράξεως τόπον τύχωσι Ἑρμῆς καὶ Κρόνος καὶ Ἀφροδίτη, ποιοῦσιν ἰατροὺς ἢ ἐπαοιδοὺς ἢ βοτανικούς· εἰ δὲ καὶ Ζεὺς ἐπιμαρτυρήσῃ αὐτοῖς, ἐκ τούτων τὰς εὐτυχίας ἕξουσιν. ὁ Ἑρμῆς καὶ ἡ Ἀφροδίτη ἐν τοῖς πρακτικοῖς τόποις τυχόντες καὶ ὑπὸ Διὸς θεωρούμενοι ποιοῦσιν ἐλεφαντουργούς, ζωγράφους ἢ χρυσοχόους ἢ κοσμητάς. ὁ Ἑρμῆς οἴκοις Ἀφροδίτης μετὰ Ἀφροδίτης ποιεῖ αὐλητὰς ἢ κιθαρῳδούς. Ἀφροδίτη οἴκοις Ἑρμοῦ μετὰ Ἑρμοῦ ποιεῖ ζωγράφους ἢ πλουμαρίους ἢ γλύπτας ἢ ἀνδριαντοπλάστας.

Πλέον δὲ πάντων ζήτει τὰ ἀποτελέσματα τῶν συναφῶν καὶ τῶν ἀπορροιῶν τῆς Σελήνης καὶ τῶν ζῳδίων καὶ τῶν παρανατελλόντων <καὶ> τὰ δεκανικὰ ἀποτελέσματα τῶν συναφῶν καὶ ἀπορροιῶν τῆς Σελήνης. ὁ δὲ κλῆρος τῆς πράξεως λαμβάνεται ἡμέρας μὲν ἀπὸ Ἑρμοῦ ἐπὶ Ἄρεα, νυκτὸς δὲ ἀνάπαλιν, καὶ τὰ ἴσα ἀπὸ ὡροσκόπου. Ζήτει καὶ τὸ ζῴδιον ἐν ᾧ ἔτυχεν ὁ κλῆρος καὶ τὸν κύριον τοῦ ζῳδίου ἐν ᾧ οἴκῳ ἔτυχε, καὶ οὕτω λέγε τὴν πρᾶξιν.

1 μαγναφαρίους cod.; corr., cf. p. 217, 9. 2 μαρτυρίσει cod. 3 κεραμουργούς habet etiam Maneth., IV, 291. 5 ἐν del. 6 μοιχὰς cod. Leg. ἐν τῷ ὑπογείῳ? sed de signis quae sunt sub terra loqui videtur. 7 σχινωμήτ(ας) cod.; corr. Delcourt coll. Maneth. IV, 287; cf. v. 1 νευροβάτας. θεοφωροσμένους cod., manu 2, cf. cap. ξε', p. 192, 18. 9 ss. cf. Ptol., p. 179, 22 ss. 11 Post ὦσιν littera exp.; deinde ἐν e corr. cod. Habet ἀμφιλελαχότες Ptol. 12 σωματοεμπόρους (vel -τα-) cod. 18 δύνει cod. 19 φωνικούς verbum novum; cf. p. 214, 16 20-21 ἰατρικοὺς ἢ ἐπαίδους cod. 21 ἐπιμαρτυρίσει ac sic saepe cod. 26 πλουμαρίους = *plumarios*. Adhuc apud Graecos « plumare », « acu pingere », πλουμίζω dicitur. 27 cf. infra p. 217, 15. 30 καὶ suppl.

Digitized by Microsoft®

πδ'. Περὶ τεχνῶν [1].

Μετὰ τὸ σκοπῆσαι τὰς τέχνας καὶ τὰ ἐπιτηδεύματα ἀπὸ τῶν ἀστέρων τῶν παρεχόντων τὴν πρᾶξιν, λέγω δὴ Ἄρη, Ἀφροδίτην καὶ Ἑρμῆν, καὶ τῶν ἀπορροιῶν καὶ συναφῶν τῆς Σελήνης, ἔτι δὲ καὶ τῶν ὁριοκρατόρων τοῦ τε ὡροσκόπου καὶ τῶν δύο φωστήρων καὶ τῶν οἰκοδεσποτῶν αὐτῶν καὶ τοῦ κλήρου τῆς τύχης, ἀναγκαῖον ἡγησάμην κατὰ τὴν τῶν ἀστέρων χρηματουργίαν ὑποτάξαι τὰς τέχνας καὶ τὰ ἐπιτηδεύματα.

Ζεὺς καὶ Ἑρμῆς μετὰ Ἄρεος ἢ ὁρίοις Ἄρεος ἀθλητικοὺς ἢ καὶ φιλοπαλαίστρους ποιοῦσι. λοιπὸν δεῖ σκοπεῖν πρὸς τὴν ἄνεσιν καὶ ἐπίτασιν τῶν σχημάτων καὶ τῶν ἀστέρων καὶ τῶν φάσεων αὐτῶν. εἰ γὰρ Κρόνος τούτοις συσχηματισθῇ, οὐκέτι ποιεῖ ἀθλητὰς καὶ ἐνδόξους, ἀλλὰ σπουδαίους περὶ τὰ μουσικά. ἐὰν ὁ τοῦ Ἑρμοῦ ἐπιθεωρήσῃ τὴν Ἀφροδίτην ἐπίκεντρον κατὰ τετράγωνον ἢ ἀλλήλων τὰ ὅρια ὑποδέξωνται ἑῷοι ἀνατολικοὶ ὄντες ἐν ἰδίοις ἢ ἀλλήλων οἴκοις ὄντες ἢ τριγώνοις, φωνικοὺς ποιοῦσιν ἢ κιθαρῳδοὺς ἢ ὀρχηστὰς ἢ μουσοχόρους ἢ τούτων ὁμοίους.

πε'. Περὶ ῥητόρων καὶ παιδευτῶν.

Ἐὰν ὁ τοῦ Ἑρμοῦ ἐπιθεωρήσῃ τὸν Δία ἐν καλῷ τόπῳ ἑστῶτα καὶ ἀλλήλων ὑποδέξωνται τὰ ὅρια, ἔξαυγοι ὄντες καὶ ἐπίκεντροι καὶ ἐπαναφερόμενοι, ποιοῦσι σοφιστάς, γραμματικοὺς ἢ παιδευτάς.

πϛ'. Περὶ μαθηματικῶν ἢ μάντεων.

Ἐὰν ὁ Ἑρμῆς ἐν καλῷ τόπῳ τύχῃ, μάλιστα καὶ Κρόνου οἴκῳ,

1 Cap. πδ' uno, quod sciam, codice **P**, f. 131, servatur. 3 δὴ] δεῖ cod. 4 συναφὰς ut vid. P; corr. 7 χρηματουργ' cod. 12 συσχηματισθῇς cod. 13 σπουδ' cod. 14 ἐπίκεντρον vel ἐπίκεντρος compendio cod. 17 An μουσοχαρεῖς? 18 Capita πε'-πϛ' forma contractiore et mutila ex codice Monacensi [Germanico 7] edidit F. Boll, *Catal.*, VII, p. 117, 14-118, 5. In codice Ital. 11, f. 54ʳ, cap. κδ', eadem forma quae in codice Monacensi servari videtur. — **P**(arisinus 2425), f. 131; codicis **G**(ermanici) varias lectiones ex *Catal.*, l. c, adnotavimus. Orthographica negleximus. Post καὶ παιδευτῶν add. καὶ ἑτέρων ὑποθέσεων G. 19 Ἐὰν] littera ε in marg. P. 20 ἔποικοι P. Leg. ἢ ἐπαν.? cf. 217, 14. 21 ἢ om. G. 22 Titulum hic ac ubique deinceps om. G, qui ex omnibus capitibus unum confecit. 23 Ἑρμοῦ G.

[1] Haecce et quae sequuntur capitula de variis artibus, ex Antiocho sine dubio Rhetorium hausisse in praefatione (p. 115) notavimus. Similia saepe apud astrologos inveniuntur; nusquam vero tam multa rariora artificum nomina inveniuntur, nisi longam enumerationem in censum vocare velis quae in Albubatris [Abu Bakr ibn al Kasil al Karaschi] *Libro genethliaco* legitur (Norimbergae, 1540), cap. XC sqq.

Digitized by Microsoft®

ἔξαυγος καὶ θεωρηθῇ ὑπὸ Διὸς καὶ Κρόνου καὶ Ἄρεος, ποιεῖ ἀστρολόγους, μάντεις ἢ ἱερεῖς. εἰ δὲ Κρόνος ὡροσκοπῶν τύχῃ οἴκῳ Ἑρμοῦ ἢ ὡροσκοπῇ Ἑρμῆς, ἀπαραβάτους μαθηματικοὺς ποιεῖ.

πζ'. Περὶ βαλανέων.

Ἐὰν ὁ Κρόνος ἐπιθεωρῇ τὴν Σελήνην καὶ τὸ δωδεκατημόριον αὐτῆς τῆς Σελήνης οὔσης ὁρίοις Κρόνου, βαλανεῖς ἢ περιχύτας ποιεῖ· εἰ δὲ ἐν ἀποκλίματι τύχωσιν ἢ ἐν τῷ ὑπογείῳ κέντρῳ, μαρμαροξύστας ποιεῖ.

πη'. Περὶ νεκρεπαρτῶν.

Κρόνος ἰσόμοιρος Ἄρει καὶ Ἑρμῇ, θεωρούντων τὰ δωδεκατημόρια ἀλλήλων δίχα τῆς τῶν ἀγαθοποιῶν θεωρίας, νεκροτάφους ἢ νεκροθάπτας ἢ νεκρεπάρτας ἢ τυμβωρύχους ποιοῦσι.

πθ'. Περὶ οἰκοδόμων ἢ κεραμέων.

Κρόνος ἰσόμοιρος Ἄρει Κριῷ ἢ Ταύρῳ ἢ Λέοντι ἢ τετράγωνος * ὑπάρχων καὶ ὑπὸ Ἄρεος θεωρούμενος χωρὶς τῆς τῶν ἀγαθοποιῶν ἐπιθεωρίας σκανδουλαρίους ποιεῖ ἢ τοιχοβάτας ἢ οἰκοδόμους ἢ κεραμεῖς ἢ λυχνοποιούς. εἰ δὲ καὶ Ἀφροδίτη ἐπιθεωρήσῃ, νευροβάτας ποιεῖ.

ϙ'. Περὶ μεθυστῶν καὶ κιναίδων καὶ γοήτων.

Ὁ Ἄρης τῇ Ἀφροδίτῃ ἰσόμοιρος ** κατὰ τετράγωνον ἢ διάμετρον ἐπιθεωρούντων ἀλλήλων τὰ δωδεκατημόρια ἐκτὸς τῆς τῶν ἄλλων ἐπιθεωρίας ποιοῦσι μεθυστάς, λῃστάς, μοιχούς, ἀναστάτους. εἰ δὲ Κρόνος ἐπιθεωρήσῃ, ποιεῖ κιναίδους, ἀσελγεῖς, μάλιστα ἐν θηλυκοῖς ζῳδίοις.

1 θεωρῆται G. 2 μάντας G. ἢ ἱερεῖς om. G. Κρόνος G : καὶ P. ὡροσκοπ(ῶν) G : ὡροσκόπος P. οἴκῳ corr. : οἶκος GP. 3 ἀπαραβάτους καὶ G, unde παραβάτας coni. Boll. 4 7 cf. Maneth., IV, 249 ss. 5 ἐπιθεωρήσῃ G. 6 τῆς — οὔσης] καὶ ἡ Σελήνη ᾖ ἐν G. 6-7 περιχύτας — κέντρῳ om. G. 7 λιθοξύστας G. 8 νεκρεπάρται sunt vespillones, qui mortuos ecferunt (νεκρ-ἐπαίρω); cf. *Catal.*, VIII, 3, p 110, 3, 9-11 cf. Maneth., IV, 186-192. 9 Ἐὰν ὁ Κρόνος G. θεωροῦνται G, unde ᾖ καὶ θεωρῶνται coni. Boll. An θεωροῦσι? sed cf. infra v. 20. 10 τῆς om. G. 10-11 νεκροθάπτους G. 11 νεκροπάρτους G. ἢ τυμβωρύχους om. G. ποιεῖ G. 12-17 Cap. πθ' totum om. G. 13 Post τετράγωνος signum planetae deest. 15 σκανδαλλαρίους cod.; corr. Delcourt = *scandularios*. ποιοῦσι cod. 16 ἐπιθεωρίσει cod. 18 μεθυστῶν cod. : μεθύσων *Catal.*, VIII, 3, p. 110, 9, fors. recte, cf. v. 21. κυνεδῶν sic P. 19 ἐὰν ὁ Ἄρης G. ὁ incertum P. Lacunam sign. Cf. Maneth., IV, 293 ss. 20 ἐπιθεωρούντων P; cf. supra v. 11 : θεωροῦνται G : <ἢ καὶ> ἐπιθεωρῶνται corr. Boll. 21 μεθύσους G, cf. v. 18. ἀναστάτους om. G. 22 ἐπιθεωρίσει P. κυνεδοῦς sic P. μάλιστα — ζῳδίοις om. G.

Digitized by Microsoft®

ϙα΄. Περὶ τεκτόνων καὶ βυρσέων καὶ λιθοξόων καὶ καβιδαρίων.

Ἐὰν ὁ Κρόνος καὶ ἡ Ἀφροδίτη καὶ <ὁ> Ἄρης ἀλλήλους θεωρήσωσιν ἐν ἀρσενικοῖς ζῳδίοις, μάλιστα Κριῷ καὶ Λέοντι καὶ Τοξότῃ, ποιοῦσι τέκτονας καὶ βυρσεῖς καὶ λωροτόμους. εἰ δὲ καὶ Ἑρμῆς ἐπιθεωρήσῃ, λιθοξόους ἢ λατόμους ἢ λιθοψήκτας. εἰ δὲ καὶ Ζεὺς καὶ Σελήνη ἐπιθεωρήσωσι, καβιδαρίους ποιοῦσιν ἢ μαρμαρίους.

ϙβ΄. Περὶ κυνηγῶν καὶ ἱερακοτρόφων καὶ ὀρνιθοτρόφων καὶ ζωγράφων.

Ἐὰν ὁ Ἑρμῆς ἕξαυγος ὢν ἰσόμοιρος γένηται τῇ Σελήνῃ καὶ ἐπιθεωρήσωσι τὰ δωδεκατημόρια ἀλλήλων <καὶ> Ἄρης καὶ Κρόνος διαμετροῦντες ἑαυτοὺς ἐπιτύχωσι τῶν κέντρων, κυνηγοὺς καὶ βηνάτορας. εἰ δὲ ἐν τοῖς πτερωτοῖς ζῳδίοις τύχωσιν ὁ Ἑρμῆς καὶ ἡ Σελήνη, λέγω δὴ ἐν Παρθένῳ καὶ Τοξότῃ καὶ ταῖς πρώταις μοίραις τῶν Ἰχθύων διὰ τὸν Πήγασον, ἱερακοτρόφους ποιοῦσι ἢ ὀρνιθοτρόφους. ἐὰν δὲ καὶ Σελήνη καὶ Ἄρης εὑρεθῶσιν ὁρίοις Ἑρμοῦ, ζωγράφους ποιοῦσι.

ϙγ΄. Περὶ ναυτῶν καὶ κυβερνήτων.

Κρόνος μεσουρανῶν ἐν καθύγρῳ ζῳδίῳ Ἄρεος καὶ Ἡλίου συμμεσουρανούντων ἢ ἐπιθεωρούντων κατὰ τετράγωνον ἢ διάμετρον, ναύτας ποιεῖ ἢ κυβερνητὰς ἢ ναυκλήρους, μάλιστα καὶ τοῦ ὡροσκόπου ὄντος ἐν καθύγρῳ ζῳδίῳ ὁρίοις Κρόνου καὶ τοῦ κλήρου τῆς τύχης ἢ τοῦ κυρίου αὐτοῦ.

ϙδ΄. Περὶ ῥαπτῶν.

Ἄρης καὶ Ἀφροδίτη ὁμοῦ ἢ τετράγωνοι ἐν ὁρίοις ἀλλήλων ποιοῦσι ῥάπτας, λινοῦφους, ὀθονιακούς.

1 τέκνων cod.; corr., cf. v. 5 et *Catal.*, VIII, 3, p. 110, 9. 1-6 cf. Maneth., IV, 318-326 2 καβιδωρίων P, cf. v. 7. 3 ἡ om. P. ὁ suppl. θεωρίσουσιν P : θεωρήσουσιν G; corr. Boll. 4 ἀρσενικοῖς — μαλίστα om. G. καὶ Τοξ. G : ἢ Τοξ. P. 5 τεκτογονικὰς corr. m. 1 ex τεκνογονίαν G : τεκτονικούς corr. Boll. 5-7 καὶ λωροτόμους — μαρμαρίους om. G. 5 λωροτόμους] cf. Nicole, *Le Livre du Préfet*, 1893, p. 49, c 14. ἐπιθεωρίσει cod. 6 λιθοψύκτας cod.; corr., cf. tamen Maneth., IV, 326 : λιθοψώκτος. 7 καβιδαρίους] cf. *Thes. l. Lat.*, s. v. « Cavidarius ». μαρμαρίνους P; corr ; cf. Nicole, *l. c.*, p. 60, c. 22 : μαρμάριοι = *marmorarii*. 8-13 cf. Maneth., IV, 333-340. 10 τῆς ☾ PG; corr. Boll. 11 καὶ suppl. Boll. 12 ἑαυτοῖς G. <τινι> τῶν corr. Boll. 12-15 καὶ βηνάτορας — Πήγασον om. G. βινάτωρας P. 13-14 λεγ' δεῖ cod. 14-15 διὰ τὸν Πήγασον] cf. p. 217, 6-7 et Rhetor., *Catal.*, VII, p. 211, 11. 15-25 ἐὰν δὲ καὶ Σελήνη — ὀθονιακούς om. G. 17-22 cf. Maneth., IV, 396-401. 23 ῥαπτῶν] ρα superscr. m. post. ; cf. v. 25. 25 λινούφους P = λίνου ὑφάντας. ὀθηνιακοὺς cod.; corr., cf. Nicole, *l. c.*, p, 39, c. 9.

Digitized by Microsoft®

ϙε΄. Περὶ μηχανικῶν καὶ ψηφάδων.

Ἑρμῆς καὶ Ἄρης καὶ Ἀφροδίτη καὶ Σελήνη ἐπίκεντροι ἢ ἐπιθεωροῦντες ἀλλήλους κατὰ κέντρον, μηχανικοὺς ποιοῦσι, ἐν δὲ τοῖς ἀποκλίμασιν ὄντες ψηφάδας.

ϙϛ΄. Περὶ μίμων.

Ἑρμῆς καὶ Ἀφροδίτη ταπεινούμενοι ἐν ὁρίοις ἰδίοις ἢ ἀλλήλων μίμους ἢ πολιτικοὺς ποιοῦσιν, μάλιστα ἐν Αἰγοκέρωτι διὰ τὸ παρανατέλλειν τὸν Πίθηκα [1].

Ἄρης καὶ Ἑρμῆς ὑπόγειοι νευροβάτας ἢ μαγγαναρίους ποιοῦσι.

Ἡ Σελήνη δύνουσα καὶ πρὸς Κρόνου φερομένη, ἐν ὑγροῖς ζῳδίοις ἢ βορεία κατιοῦσα ναυτικοὺς ποιεῖ.

Ἀφροδίτη οἴκῳ Ἡλίου ἢ ἰδίῳ μετὰ Ἑρμοῦ, μάλιστα ἐπίκεντροι καλαμαύλους ἢ κιθαριστὰς ἢ μουσικοὺς ποιοῦσι.

Ἀφροδίτη οἴκῳ Ἑρμοῦ μετὰ Ἑρμοῦ ἐπίκεντροι ἢ ἐπαναφερόμενοι ἔξαυγοι ζωγράφους ποιοῦσι ἢ ἀνδριαντοπλάστας ἢ πολυμιταρίους.

Εἰ δὲ Ἥλιος καὶ Σελήνη ἐν ταῖς ἐπαναφοραῖς τύχωσιν Ἑρμοῦ καὶ Ἀφροδίτης ἐπίκεντροι ὄντες, ἡνιόχους ποιοῦσι, μάλιστα ἐν Διδύμοις καὶ Ταύρῳ.

Ἡ Σελήνη ἐν Ταύρῳ μετὰ Ἑρμοῦ καὶ Ἡλίου αὐξιφαὴς ἰξευτὰς ποιεῖ καὶ ἱερακαρίους.

Ἐὰν δὲ ὁ ὡροσκόπος τύχῃ ἐν Καρκίνῳ ἢ Σκορπίῳ ἢ Ἰχθύσι Διὸς καὶ Κρόνου ὑπογείων <ὄντων> καὶ τὴν πρᾶξιν παρεχόντων, ποιεῖ βοτανικούς, θηριοδήκτους.

Ὁ Ἄρης καὶ ὁ Ἑρμῆς ἐπίκεντροι ἐν Λέοντι δίχα Διὸς καὶ Ἀφροδί-

1 Cap. ϙϛ΄, vv. 6-7 ante ϙε΄ transp. G. 2 καὶ et καὶ (prima) om. P. 2-3 ἢ ἐπιθεωροῦντες P : ἐὰν ἐπιθεωροῦνται G. 3 ἀλλήλοις G : ἀλλήλος P. 3-4 ἐν δὲ — ὄντες P : καὶ (cet. om.) G. 4 ψηφάδας a ψηψᾶς = ψηφοπαίκτας [Boll] 6 ἐὰν ὁ Ἑρμῆς G. ἢ ἀλληλῶν om. G. 7 μίμους G : λυμοίμους P. πολιτικοὺς ante μιμ. transp. G. 7-8 μάλιστα — Πίθηκα om. G. 8 πήθηκα P. 9-13 Ἄρης καὶ — μουσικοὺς ποιοῦσι om. G. 9 cf. p. 213, 7. 11 βωρὰ P; corr. κηθαριστὰς] στὰς dubium P. 14 ἐὰν ἡ Ἀφροδ. G. μετὰ Ἑρμοῦ om. G. ἐπίκ(εντροι) P : ἐπὶ κέντρῳ G. 14-15 ἔξαυγοι ἐπαναφερόμενοι G. 15 ζωγράφους] cf. p. 216, 16. 15-20 ἢ ἀνδριαντοπ. — ἱερακαρίους om. G. 15 πολυμηταρίους cod.; corr. Delcourt = *polymitarios* (Vulg. *Exod.* 35, 35). 19 αὐξιφαεῖς cod. 21 ἂν ὁ ὡρ. G. 22 ὄντων suppl. Boll. καὶ τὴν πρᾶξ. παρεχ. om. G. 23 θηριοδήκτους P : θηριοδείκτους G, unde θηριοδείκτας corr. Boll, sed dubitanter, cf. indicem eius p. 262; cf. supra pp. 155, 25; 212, 21. 24 ἐὰν ὁ Ἄρης G. ἐπὶ κέντρῳ G.

---

[1] Πίθηξ vel Πίθηκος est constellatio « sphaerae Barbaricae » (Boll, *Sphaera*, p. 295), quam Rhetorius alio in loco ipse ex Teucro τὸν Κυνοκέφαλον τῆς δωδεκαώρου vel τὸ Δυσώνυμον ζῷον τῆς δωδεκαώρου appellat (*Catal.*, VII, p. 208, 22 ss.).

Digitized by Microsoft®

της καὶ Ἡλίου ποιοῦσι τολμηρούς, τὸ ἴδιον αἷμα ἐκχέειν εἰς οὐδὲν λογίζοντας ἢ ψεύστας, ἐπιόρκους, ἀσεβεῖς, πλαστογράφους, δολίους.

Ἐὰν ὁ Κρόνος καὶ ὁ Ἑρμῆς οἴκῳ Κρόνου καὶ Σελήνη τύχῃ ἐν Ταύρῳ, ποιοῦσι σοφὸν ῥήτορα ἢ μαθηματικόν, χαριέστατον δὲ καὶ φιλόμουσον, ῥευματιζόμενον τοὺς πόδας ἢ τὰ ἄρθρα καὶ σύμμετρον τὸν βίον, ἀλλὰ μεγαλόφρονα καὶ ἡδύν.

Ὁ Ἄρης καὶ ἡ Ἀφροδίτη ὁμοῦ ἢ τετράγωνοι ἢ διάμετροι ἐν τοῖς αὐτοῦ κλίμασιν ἰατροὺς ποιοῦσιν ἢ φιλοσόφους.

ϛζʹ. Περὶ γονέων.

Τὰ μὲν περὶ πατρὸς ἀπὸ Ἡλίου καὶ Κρόνου καὶ τοῦ κλήρου τοῦ πατρὸς σκέπτου καὶ τοῦ διαμέτρου τοῦ κλήρου τοῦ πατρός, τὰ δὲ περὶ μητρὸς ἀπὸ Σελήνης καὶ Ἀφροδίτης καὶ τοῦ κλήρου τῆς μητρός, ἐξαιρέτως δὲ ἡμέρας ἀπὸ Ἡλίου καὶ Ἀφροδίτης, νυκτὸς δὲ ἀπὸ Κρόνου καὶ Σελήνης καὶ τῶν κλήρων. Ζήτει δὲ καὶ τοὺς οἰκοδεσπότας αὐτῶν καὶ τριγωνικοὺς δεσπότας καὶ ὁριοκράτορας· ἀπὸ γὰρ τούτων τῶν κεφαλαίων γνωσθήσονται οἱ γονεῖς. καὶ ἀπὸ μὲν τῶν φώτων καὶ τοῦ Κρόνου καὶ τῆς Ἀφροδίτης καὶ τῶν οἰκοδεσποτῶν αὐτὰ τὰ κατὰ τοὺς γονεῖς σκέπτου, οἷον περὶ παθῶν καὶ κινδύνων καὶ δυσγενείας καὶ τέχνης καὶ κτήσεως καὶ τῶν ὁμοίων. καὶ ὁ μὲν Ἄρης σημαίνει τὸ γένος τοῦ πατρός, ὁ τριγωνικὸς αὐτοῦ δεσπότης τὸν βίον τοῦ πατρός. ἐὰν οὖν ὁ Ἄρης καλὴν ἔχῃ θέσιν, ὁ δὲ τριγωνικὸς αὐτοῦ δεσπότης κακήν, τοὺς μὲν γονεῖς λέγε εὐγενεῖς, ἀλλ' ἐλάττονας τάς τε τύχας καὶ ἀδιάρτους τῇ

1-2 τὸ ἴδιον — λογίζοντας om. P. 2 λογίζονται G; corr. ἢ ψεύστας om. G. πλαστογράφους om. G. 3-4 ἐὰν ὁ Κρόνος καὶ ἡ Ἀφροδίτη καὶ Σελήνη τύχωσιν ἐν Ταύρῳ ποιοῦσι G. 4 ποιεῖ P. τραυλὸν ante σοφὸν add. P; cf. ad vv. 5-8. Leg. <φιλό>σοφον, ῥήτορα? cf. v. 8. ἢ et δὲ om. G. 5-8 Pro ῥευματιζόμενον — φιλοσόφους, fortasse rectius haec praebet G : ἐὰν ἡ Ἀφροδίτη <καὶ ὁ> Κρόνος <ἢ> ὁ Ἄρης ἐν διαμέτρῳ, τραυλὸν ποιεῖ καὶ ῥευματιζόμενον, μάλιστα ἐν τοῖς <βορείοις suppl. Boll> κλίμασι τοῦ Κρόνου βορείου ὄντος. 8 αὐτοῦ] leg. αὐτῶν? 9 **P**(arisinus 2425), f. 132^{r}. Epitome Byzantina edita est *Catal.*, II, p. 187, 4-15 (v. 15 incipit summarium cap ϛθʹ, περὶ πατροκτονίων); cuius codices sunt Parisinus 2506 (= 10), f 23^{r} (= **A**) et Marcianus 335 = **V**(enetus) 7, f. 113. Cf. etiam *Catal.*, VIII, 3, p. 110, cap. οηʹ et Hephaest., II, 4 (*Catal.*, VIII, 2, p. 60). 10 et 11 τὰ μὲν ... τὰ δὲ AV : ὁ μὲν (sic) .. τὸ δὲ P. 10 11 καὶ τοῦ κλήρου τοῦ πατρὸς σκέπτου om. AV. 11 τοῦ διαμέτρου PA : τοῦ σχήματος V. 13 καὶ Ἀφροδίτης AV : ἐπὶ Ἀφροδίτ(ην) P. 15 τρίγωνον δεσπότην καὶ ὁριοκράτορα A : τριγωνοδεσπότας καὶ ὁριοκράτορας V : τριγωνοκράτορας P; corr. Τριγωνοκράτορας habet Dorotheus apud Hephaest. (p. 60, 8) sed cf. vv. 20, 21 etc. ἀπὸ γὰρ τούτων AV : καὶ ἀπὸ τούτων P. 16 ss. οἱ γονεῖς καὶ τὰ πάθη καὶ ὁ βίος καὶ ὁ χρόνος τῆς ζωῆς καὶ κίνδυνοι καὶ τέχναι καὶ γένος καὶ κτήσεις καὶ ἁπλῶς τὰ κατὰ (κατὰ superscr. A) τοὺς γονεῖς πάντα οὕτω AV, ceteris omissis usque ad p. 219, 32 (— γονέων) 21 ἔχει cod. 22 λέγει cod. ἀδιάρτους] Leg. ἀδιακρίτους?

Digitized by Microsoft®

ψυχῇ. εἰ δὲ καὶ ὁρίοις κακοποιοῦ ὁ Ἄρης τύχῃ, λέγε τὸν πατέρα ἢ δοῦλον ἢ ἀγενῆ. εἰ δὲ κακοποιὸς ἐπιθεωρήσῃ, ἢ πάθος ἢ σίνος τοῦ πατρὸς ποιήσει. ἐὰν δὲ ὁ Ἥλιος ἐν κακῷ τόπῳ τύχῃ, ὁ δὲ τριγωνικὸς αὐτοῦ δεσπότης ἐν καλῷ τόπῳ καὶ φάσει, λέγε τὸν πατέρα ἐξ ἀγενῶν εἰς αὔξησιν βίου ἔρχεσθαι. καὶ ὁ μὲν πρῶτος τριγωνικὸς δεσπότης τοῦ Ἡλίου σημαίνει τὸν πρῶτον βίον τοῦ πατρός, ὁ δὲ δεύτερος τὸν δεύτερον.

Τὰ δὲ αὐτὰ σχήματα τῆς Σελήνης πρὸς τὴν μητέρα νόει. ἐὰν ἡ Σελήνη τύχῃ ὁρίοις ἀγαθοποιοῦ ἐν τοῖς ἀποκλίμασιν ἢ ἐν τοῖς ἐκλειπτικοῖς συνδέσμοις, μάλιστα ἐν τῷ Καταβιβάζοντι καὶ ὑπὸ κακοποιῶν θεωρουμένη, εὐγενίδα μέν, παίδων δὲ χάριν δουλικοῖς ὑπόκεισθαι ποιοῦσι καὶ τὸν βίον αἰσχρὸν ἔχουσαν· ἡ Σελήνη ἐν τῷ Ἀναβιβάζοντι σινοῖ τὴν μητέρα ἢ ἀγενῆ ποιεῖ· ἐὰν δὲ τύχῃ ἡ Σελήνη διάμετρος κακοποιοῦ <καὶ> ὁ κλῆρος αὐτῆς ἀποκλίνῃ, δούλην λέγε τὴν μητέρα· ἐὰν ἡ Σελήνη συνάπτῃ τινὶ τῶν κακοποιῶν, βιοθάνατον ποιεῖ τὴν μητέρα.

Ὁ δὲ Ἥλιος καὶ ὁ τριγωνικὸς αὐτοῦ δεσπότης κακῶς κείμενοι καὶ ἐν ἀλλοτρίοις ζῳδίοις, βιοθάνατον ποιοῦσι τὸν πατέρα. εἰ δὲ καὶ ὑπὸ κακοποιῶν θεωρηθῶσιν, καὶ τὰ πατρικὰ ἀπολοῦσι. ἐὰν δὲ ὁ Ἥλιος καὶ ὁ τριγωνικὸς αὐτοῦ δεσπότης ἐν κακῷ τόπῳ τύχωσι καὶ ὑπὸ κακοποιῶν θεωρηθῶσι ἐπὶ ἡμερινῆς γενήσεως, μισητοὺς καὶ ἀποβλητοὺς ποιεῖ τοὺς γεννηθέντας τοῖς πατράσιν. σκέπτου δὲ καὶ τὸν κύριον τοῦ κλήρου τοῦ πατρὸς ἐν ποίῳ τόπῳ τύχῃ καὶ ποίαν φάσιν ἔχῃ καὶ ὑπὸ τίνων θεωρῆται, καὶ οὕτως λέγε τὸν βίον τοῦ πατρός· ἐὰν δὲ τύχῃ ὁ κύριος τοῦ κλήρου ἐν τῷ δευτέρῳ ἢ ἕκτῳ ἢ ὀγδόῳ ἢ δωδεκάτῳ, εὐτελῆ λέγε τὸν πατέρα. Ζήτει δὲ καὶ τὸ διάμετρον ζῴδιον τοῦ κλήρου τοῦ πατρός, καὶ ἐὰν τὸν κύριον τοῦ κλήρου τοῦ πατρὸς εὕρῃς ἐν τῷ κλήρῳ τοῦ πατρὸς ἢ μετὰ τοῦ κλήρου, λέγε τὸν τοιοῦτον εἰσποιητὸν γενήσεσθαι.

Ζήτει δὲ καὶ τὰ δωδεκατημόρια Ἡλίου καὶ Σελήνης ποῦ πίπτουσιν καὶ ὑπὸ τίνων θεωροῦνται. καὶ οὗτοι γὰρ ἱκανῶς σημαίνουσι τὰ περὶ γονέων. διέκβαλον οὖν καὶ Σκορπίον τοὺς ἐπιθεωροῦντάς τε καὶ παραδόσεις καὶ παραλήψεις τῶν ἀστέρων, καθὼς Οὐάλης ἐν τῷ δʹ βιβλίῳ, καὶ τὰ ἐπιμεμερισμένα τοῦ κλήρου τῆς τύχης καὶ τοῦ δαίμονος, καθὼς Οὐάλης.

2 ἐπιθεωρήσει cod. τὸν πατέρα cod. **3** ἕνα κακῶ (sic) cod. **11** παῖδας cod. δουλικὰς cod. **12** ἔχουσας sic cod. **13** διάμετρος dubit. corr.; cf. v. 26 : ὡροσκόπος compendio cod. **14** καὶ suppl. **19** ἀπολλοῦσι cod. **24** θεωρεῖται cod. **29** γενήσθαι cod. **32-35** διέκβαλον — Οὐάλης om. P, qui nomina auctorum laudatorum supprimere solet (p. 116). Ex epitomatore addidi. **32** Σκορπίον (signo astrol. in AV) vix sanum : σκόπει coni. Kroll. **33** παραλείψεις A. **33-34** Vett. Valent., IV, capp. 17-24. **34** δʹ ex βʹ corr. A. τῆς ἐπιμεμερισμένης AV : τοὺς ἐπιμερισμοὺς coni. Kroll. **35** Vett. Valent, IV, cap. 25.

Digitized by Microsoft®

ϙη΄. Περὶ ἀλλοφύλων γονέων.

<Ὁ> Ἥλιος καὶ ἡ Σελήνη ἐν τροπικοῖς τυχόντες ζῳδίοις ἀλλοφύλους η ἀλλοεθνεῖς τοὺς γονεῖς ποιοῦσιν. ἐὰν δὲ καὶ ὁ ὡροσκόπος τύχῃ ἐν τροπικῷ ζῳδίῳ, ἐξαιρέτως ἀλλοφύλους λέγε τοὺς γονεῖς, πλέον δὲ εἰ καὶ κακοποιοὶ ἐπιθεωρήσωσιν. ὁμοίως δὲ καὶ τὰ φῶτα ἀλλήλων ἀπόστροφα ἀλλοφύλους ἢ ἀλλοεθνεῖς τοὺς γονεῖς ποιοῦσι. ὁ Ἥλιος δύνων τῷ † ὡροσκόπῳ, χωρισμὸν γονέων ποιεῖ. τὸ αὐτὸ δὲ <Σελήνη> πανσεληνιακὴν φάσιν ἔχουσα. ἐὰν ὁ κύριος τοῦ δωδεκάτου τόπου τύχῃ μετὰ Ἡλίου, τὸν πατέρα δοῦλον λέγε ἢ σεσινωμένον· εἰ δὲ μετὰ Σελήνης, τὴν μητέρα δούλην λέγε ἢ σεσινωμένην.

1 P(arisinus) 2425, f. 133, solus. 2 ὁ om. cod. 2 ss. cf. supra cap. νδ΄, p. 120, 10. 4 ἀλλ' ὁ φύλος sic cod. 6 ἀλλοφύλος ἢ ἀλλοπαθεῖς cod.; corr.; cf. v. 3 et p. 146, 9. 7 ὡροσκόπῳ corruptum. Σελήνη suppl. 8 φύσιν ἔχων cod. 9-11 cf. supra p. 128, 19 ss.

F. 136v. ρδ΄· Περὶ ἀδελφῶν καὶ τῆς φιλίας αὐτῶν καὶ ποσότητος κατὰ τὸ δυνατὸν καὶ περὶ μειζόνων καὶ μικροτέρων ἀδελφῶν [καὶ περὶ τῆς φιλίας αὐτῶν] καὶ πότε τεθνήξονται.

Φορτικὸν ἡγοῦμαι μὲν καὶ δυσείκαστον εἰπεῖν τὴν τῶν ἀδελφῶν ποσότητα· οὔτε γὰρ πάντως δυνήσομαι ἢ διὰ τὸ ἄπιστον καὶ ἀκρατὲς τῶν γυναικῶν ἢ διὰ τὸ πολλάκις με ἑωρακέναι τινὰς ἐσχηκότας ἀδελφοὺς ιγ΄ καὶ ιδ΄ ἢ καὶ πλείους· ὁμοίως δὲ καὶ εἰς τὴν περὶ τέκνων καὶ γυναικῶν ποσότητα παραιτοῦμαι τὸν ἀριθμὸν λέγειν διὰ τὸ πολλάκις τινὰς γεγαμηκέναι γυναῖκας ἑπτὰ καὶ ὀκτώ, ἐσχηκέναι δὲ τέκνα ιε΄ ιϛ΄.

3-7 κατὰ — τεθνήξονται in textum posuit P. Cf. titulos cap. ρδ΄-ρη΄ supra p. 29 et *Catal.*, VIII, 3, p. 110, 22 quo ἀμφιθαλῶν καὶ ἑτεροθαλῶν additur. 10 πάντος P. 13 με] μους ut vid. P. ἑστηκότας P. 19 γεγενεικέναι P.

Epitomator Byzantinus formam praebet valde diversam, sed quaedam melius servasse videtur quam codex Parisinus Rhetorii.

Περὶ ἀδελφῶν.

Δυσείκαστόν ἐστι καὶ σχεδὸν ἀδύνατον τὸ εἰπεῖν ποσότητα ἀδελφῶν· ἱστορεῖται γὰρ ἡ Ἑκάβη ιθ΄ παῖδας τετοκέναι, ἡμεῖς δὲ ἐν Βυζαντίῳ κδ΄ παίδων μητέρα εἴδομεν· καὶ γυναῖκας δέ τινες πολλὰς λαμβάνουσιν καὶ μία γυνὴ πολλοὺς ἄνδρας· δεῖ οὖν ἀσφαλέστερον λέγειν πολυγαμίαν ἢ πολυαδελφίαν ἢ πολυτεκνίαν καὶ τὰ τοιαῦτα. ὅμως δὲ οἱ παλαιοὶ οὔτε ὤκνησαν κατὰ τὸ δυνατὸν καὶ τὸν ἀριθμὸν τῶν

Parisinus 2506, f. 24 (= **A**); Marcianus 335, f. 114 (= **V**); cf. *Catal.*, II (Venet.), p. 189, 27. 13 τινας πολλὰς A : τινες πόλλους V.

Digitized by Microsoft®

ἀναγκαῖον οὖν ἐστιν [καὶ] κατὰ τὸ ἀσφαλὲς ἀποκρίνεσθαι καὶ λέγειν μᾶλλον πολυανδρίαν ἢ πολυγαμίαν ἢ πολυτεκνίαν· ἀλλ' ἐπειδὴ οἱ ἀρχαῖοι ἐπειράθησαν τούτων λέγειν τὸν ἀριθμόν, πειράσομαι κἀγὼ κατὰ τὸ δυνατὸν ὑποτάξαι ὡς πρόκριμα παρ' ἐκείνων ὑπομείνας.

1 καὶ del. 8 πρώκρημα P. 9 ὑπὸ μῆνας P.

ἀδελφῶν λέγειν· διὸ καὶ ἡμεῖς ὡς δυνατὸν ἐγχειροῦμεν λέγειν.

1 Post λέγειν spatium IX litt. in A.

F. 139v. ριγ'. Γένεσις γραμματικοῦ[1].

Οὗτος γέγονε Θηβαῖος γραμματικὸς πένης ὡς ἐτῶν λβ'· ἀπὸ δὲ ἐτῶν λγ' γήμας ἤρξατο ἀνασφάλλειν ἐν Ἀθήναις, καὶ λοιπὸν φυγὼν ἐν Βυζαντίῳ ἐκολλήθη ἀνδρὶ μεγάλῳ, καὶ ὑποκριθεὶς ἑαυτὸν ὡς γόητα ἤτοι τελεστὴν γέγονε κουέστωρ, εἶτα ὕπατος, εἶτα πατρίκιος καὶ μετὰ ταῦτα ὡς προδότης ἐν κάστρῳ ἐσφάγη ἐτῶν μδ' ἕκτον. ἦν δὲ καὶ ἀσελγής[2].
Ἥλιος Ζυγῷ ε' η', Σελήνη Ταύρῳ η' δ', Κρόνος Ταύρῳ κε', Ζεὺς Ζυγῷ κγ' η', Ἄρης Αἰγοκέρῳ κϛ' η', Ἀφροδίτη Σκορπίῳ κϛ', Ἑρμῆς Ζυγῷ κγ', ὡροσκόπος Ὑδροχόῳ κγ' λ', μεσουράνημα Ταύρῳ ε' γ', πανσέληνος Κριῷ β' μβ', Τύχη Παρθένῳ κϛ' λδ', Δαίμων Καρκίνῳ κ' λδ', ὕψωμα γενέσεως Παρθένῳ, κλῆρος ἀναιρέτου Ὑδροχόῳ.
Ζητήσας τὴν προκειμένην γένεσιν, εὗρον τὴν μὲν Σελήνην καὶ Κρόνον καὶ Ἀφροδίτην καὶ Ἄρη, μοιρικῶς ἀποκεκλικότας, ζωδιακῶς δὲ Σελήνην καὶ Κρόνον καὶ Ἀφροδίτην ὡς ἐπικέντρους. τὸν δὲ Ἥλιον καὶ

1 Capp. ριγ'-ριζ' solus servavit Parisinus 2425. λβ' corr.: λδ' cod.; cf. p. 222, 18. 3 ἀνασφάλειν cod. 4 λυπὼν cod. 5 ἑαυτὸ cod. 5-6 κυέστωρ cod. 7 ἐφάγη cod., cf. p. 224, 20. μδ'] μ prima m. in litura. ἕκτον] i. e. menses duo, cf. p. 224, 20. 10 Ταύρῳ] Τοξότῃ (signo astrol.) ε' ηγ' cod. Si horoscopus est in Aquario, medium caelum est in Tauro. 14 καὶ Ἄρη] errore ut vid. μερηκῶς. 15 ὡς] Leg. ὄντας?

[1] Hoc capitulum paenultimum operis Rhetorii erat, quale illud legebat auctor summarii Byzantini (*Catal.*, VIII, 3, p. 110, cap. πθ'). Sequebantur γενέσεις (sic legendum) βασιλέων, e quibus una tantum superest in cod. Parisino 2506; cf. infra p. 224.

[2] Grammaticus iste Thebanus, qui exeunte saeculo quinto, ut videtur, praestigiis suis effecit ut quaestor, consul, patricius fieret, mihi quidem ignotus est. Nomen eius fortasse erui poterit, si astronomus e positionibus planetarum annum et diem quo natus est computaverit. — In commentario genituræ nonnulla correxi, alia incerta manent.

Digitized by Microsoft®

Ἑρμῆν καὶ Δία ζωδιακῶς ἀποκεκλικότας, μοιρικῶς δὲ ὁ Ἥλιος ἐν τῇ ἐπαναφορᾷ τοῦ δύνοντος κέντρου ἐτύγχανεν. ὁρῶ οὖν τὸν Κρόνον κύριον ὄντα τοῦ ὡροσκόπου καὶ πρῶτον τριγωνικὸν δεσπότην [1] τοῦ τε ὡροσκόπου καὶ τοῦ τριγωνικοῦ φωτὸς τοῦ σημαίνοντος τὴν πρώτην ἡλικίαν ἐν τῷ ἀποκλίματι τοῦ ὑπογείου κέντρου καὶ ἀφαιρέτην, καὶ ὑπὸ Ἄρεως βλαπτόμενον κατὰ τὸ ἰσοσκελῆ τρίγωνον, ἀλλὰ δὴ καὶ τὴν <Ἀφροδίτην> κυρίαν αὐτοῦ καὶ τῆς Σελήνης [2] κατ' ἐναντίωσιν αὐτῆς κειμένην. πῶς οὐκ ἂν τὴν πρώτην ἡλικίαν χαλεπὴν ἐκτήσατο ἀλλὰ δὴ καὶ φυγὰς ἐν πολλοῖς τόποις ἐγένετο διὰ τὸ διαμετρεῖσθαι τὴν Σελήνην ὑπὸ τοῦ ἰδίου οἰκοδεσπότου· φησὶν γὰρ <Δωρόθεος>·

Τὴν Μήνην καθόρα τίνος ἀστέρος ἐστὶν ἐν οἴκῳ·
κἂν εὕρῃς τοῦτον φωλευόμενον διαμέτρῳ,
καὶ φυγὰς ἔσται δὴ κάσημος καὶ μετανάστης.

Καὶ ταῦτα μὲν περὶ τῆς πρώτης ἡλικίας μέχρι ἐτῶν κε' ἢ λ', τουτέστι μέχρι τῆς ἀναφορᾶς τοῦ Ταύρου ἢ τῆς Σελήνης ἢ Κρόνου χρονικῆς περιόδου, μετὰ δὲ ταῦτα ἀνέτειλε ὁ δεύτερος τριγωνικὸς δεσπότης, τουτέστιν Ἑρμῆς, μετὰ Διός, ἀπὸ ἐτῶν λβ'· Ἑρμοῦ γὰρ περίοδος ἔτη κ' καὶ Διὸς ιβ', ἃ γίνεται ἔτη λβ', ἀφ' οὗ ἤρξατο ἀνανεύειν τῇ τύχῃ, ἐπειδὴ ὁ Ἑρμῆς καὶ [ὁ] κύριος τοῦ κλήρου τῆς τύχης ἐτύγχανεν. ὁ μὲν κατὰ μέρος προβαίνοντος χρόνου καὶ τῇ τύχῃ προέκοπτεν διὰ τὸ τὸν Ἑρμῆν εἶναι κύριον τοῦ κλήρου καὶ τῆς δευτέρας ἡλικίας καὶ ἐγκαρδίου Διὸς καὶ ἑσπερίαν ἀνατολὴν ποιούμε-

1 μοιρυκ' cod. 5 ἀναφαίρετην sic cod.; corr. ὑπόγείου (signo astrol.) cod. Leg. ὑπεργείου id est μεσουρανήματος? 6 ἰσοκελῆ cod 7 Ἀφροδίτην suppl. 8 κειμένων cod. 10 οἰκοδεσπότης pro τριγωνοκράτωρ dicitur i. e. Venus, cf. infra n. 2. 11 Δωρόθεος suppl. Nomen suppressit epitomator, cf. supra p. 116 et infra cap. ριε'. 12 Μήνην scripsi : ☾ cod. ἐν οἴκῳ ἐστίν cod. 13 κἂν scripsi : καὶ ἣν cod. διάμετρον cod. 14 ἔστι δὲ cod.: corr. Delcourt. καὶ ἄσιμος in ἄτιμος corr. m. 2 cod. 15 ι' λ' cod. Ἀναφορά Tauri et periodus Lunae sunt pariter a. 25 periodus Saturni est a. 30; cf. Bouché-Leclercq, pp. 269, 410. Κρόνου corr. : τῆς cod. 18 cf. infra, n. 1. 19 ἔτη cod. ἀνανεύειν] cf. p. 205, 20. 20 ὁ del. 20-21 ἐτύχανεν cod. 21 προβαίνον τοῖς χρόνοις sic cod. 23 ἐγκαρδίου Διός] cf. *Catal.*, I, p. 145, 26; Bouché-Leclercq, *Astr.*, pp. 112, 1; 309, 5.

[1] Πρῶτος δεσπότης est dominus trigoni diurnus, cf. infra v. 17 : δεύτερος δεσπότης Ἑρμῆς. Cum horoscopus, qui primam praecipue aetatem regit, in Aquario sit, triangulum eius constat signis ♊ ♎ ♒, cuius dominus diurnus (τριγωνοκράτωρ) est Saturnus, nocturnus Mercurius; cf. Bouché-Leclercq, *Astrol. gr.*, p. 204.

[2] Domina Martis et Lunae Venus appellatur, quae per diametrum in Scorpio Lunae in Tauro opponitur. Trigoni enim Scorpii, Cancri, Piscium prima domina est Venus, secundus dominus Mars, tertia domina Luna; cf. Bouché-Leclercq, *op. cit.*, p. 204 ss.

Digitized by Microsoft®

νος· ὅθεν κατὰ πρόβασιν τῶν ἐτῶν προέκοπτε καὶ τὴν τύχην.

ριδ'. Περὶ τοῦ εἶναι αὐτὸν γραμματικόν.

Ὅρα τὸν κλῆρον τῆς τύχης ἐν Ἑρμαϊκῷ ζῳδίῳ ἐμπεπτωκότα, ὁμοίως δὲ καὶ τὸν Ἑρμῆν τὸν κύριον τοῦ κλήρου ἐν ἀνθρωποειδεῖ ζῳδίῳ καὶ ἰδίῳ τριγώνῳ μετὰ Διὸς ἰσόμοιρον καὶ προσώπῳ Διὸς καὶ ὁρίοις Ἑρμοῦ καὶ Ἀφροδίτης καὶ ταῦτα τὰ κεφάλαια κοσμεῖν τοιοῦδε τοὺς λόγους, μάλιστα διὰ τὸ τὸν Ἑρμῆν συνεῖναι τῷ Διὶ ἰσόμοιρον· γέγονε δὲ τῇ τύχῃ κουέστωρ.

ριε'. Περὶ τοῦ εἶναι αὐτὸν προδότην.

Ὅρα τὸν Ἑρμῆν καθυπερτεροῦντα τὸν Ἄρη κατὰ τετράγωνον. φησὶ γάρ τις τῶν σοφῶν·

Εἰ δὲ τόπον τετράκληρος ἐὼν τὸν ἀνώτερον ἴσχει
Ἑρμείας, βαιὸν δὲ τόπον ναίει φιλότητος ὁ Ἄρης,
δεινῶς ἐξετέλεσσε πανούργων ἤτε μέλοντας
ἁρπακτὰς ἤτ' ἀλλοτρίων ** στερητάς,
εἰς ἕτερον δ' ἑτέρου μετανάστασιν ἀνέρος ἄνδρα
† ἀλοτ' εὔροιμεν καὶ τὸ λοιπόν ** ἐνισκήψουσι προδόντες
σφῇ κακομηχανίῃ κτεάνων δ' ἀπογυμνώσουσιν.

ρις'. Περὶ τῆς ἀσελγείας.

Ὅρα τὸν κύριον τοῦ ὡροσκόπου καὶ τὸν κλῆρον τῆς τύχης καὶ τοῦ δαίμονος ἐν ἀσελγεῖ ζῳδίῳ ἐμπεπτωκότας· ἀλλὰ δὴ καὶ τὸ διαμετρεῖν Κρόνον πρὸς Ἀφροδίτην οἴκῳ Ἄρεος καὶ Κρόνος οἴκῳ Ἀφροδίτης τὴν ἀσέλγειαν ἀπεργάσαντο.

1-2 Leg. τῇ τύχῃ; cf. p. 222, 21. 4 ὅρα] ὅρος cod. Fortuna est in Virgine, quae est signum Mercurio tributum a Dorotheo; cf. Bouché-Leclercq, *Astr.*, p. 203. ἐκπεπτωκότα cod. 7 τε οἷ(ος?) δὲ cod.; corr. κυέστωρ cod. 12 τις τῶν σοφῶν] nomen Dorothei, ut videtur, suppressit librarius; cf. supra p. 116. 13-19 Verba tam misere corrupta ut versus restituere paene desperaverim. Nonnulla ab amico Iosepho Bidez adiutus corrigere dubitanter tentavi. Scriptura codicis pessima est haecce : εἰ δὲ νῦν τετράκληρος ἐὼν τὸν ἀνώτερον ἴσχυ ερμῆς βαίον δὲ τύπον μαίνει φυλώτ(α)τ(ος) ἄρης (sign. astr.) δυνὸς ἐξετέλεσε πανοῦργων ετὴ μέλλων τὰς ἀρπαγὰς καl ἀλλοτρίων σερητ(ως) εἰς ἕτερον δὲ ἐξ ἑτέρου μετάνασιν (ν dubium) ἄπανερο ἀνδρα ἀλοτ' (vel αὐλοτ') εὕροιμεν καὶ τὸ λοιπὸν ἐνlσκηψουσιν ὀδόντος φικακομηχανία (α dubium) κτεανῶν δὲ γυμνῶσουσι. 18 καὶ τὸ λοιπόν verba quaedam a librario omissa esse significat. Lac. signavi. 21 τὸν κύριον τοῦ ὡροσκόπου] i. e. Saturnus (cf. supra p. 222, n 2) qui est in Tauro. τῆς τύχης delendum? nam est in Virgine. 22 ἐκπεπτωκότα cod.; cf. supra v 4. 22-24 δεῖ καl τῷ διαμέτρ(ῳ) (sign. astr.) Κρόνος cod. 23 Ἀφροδίτης scripsi : Ἄρεως cod. Venus est in Scorpio domicilio Martis, Saturnus in Tauro domicilio Veneris.

Digitized by Microsoft®

ρıζ'. Περὶ τῆς ἀνατολῆς τῆς τύχης αὐτοῦ.

Ἀνέτειλεν αὐτοῦ ἡ τύχη ἀπὸ ἐτῶν λβ', καθὼς προεῖπον, διὰ τὴν περίοδον Ἑρμοῦ καὶ Διός, καὶ πάλιν ἀνέτειλεν ἡ τύχη τῷ λε' ἐνιαυτῷ διὰ τὴν ἀναφορὰν τοῦ Σκορπίου. τῷ δὲ λϛ' ἐνιαυτῷ ἔφυγε ἐν ΒυΖαντίῳ, καθὸ ἀνέτειλε ὁ Ταῦρος καὶ Σελήνη καὶ Κρόνος. Ταύρου ἀναφορὰ κε', Σελήνης περίοδος κε', Κρόνου περίοδος νζ' ὁμοῦ γίνονται χρόνοι ρζ'· τὸ τρίτον γίνεται χρόνοι λε' μ'. καὶ ὁ μὲν Ταῦρος ὡς ἀπόκλιμα τὴν ξενιτείαν ἐσήμανεν, ὁ δὲ Κρόνος καὶ ἡ Σελήνη ὡς ἐν ἀποκλίματι τὴν φυγήν· ἀπὸ δὲ ἐτῶν λη' γ' ἀνέλαμψε αὐτοῦ ἡ τύχη. ἦν γὰρ ἀνατολὴ Παρθένου καὶ Ζυγοῦ, Παρθένου μὲν ὡς ὑποδεξαμένης τὸν κλῆρον τῆς τύχης, Ζυγοῦ δὲ ὡς ὑποδεξαμένου Ἥλιον καὶ Δία καὶ Ἑρμῆν τὸν κύριον τοῦ κλήρου τῆς τύχης· κατὰ τοῦτον τὸν χρόνον γέγονε κουέστωρ, ὕπατος, πατρίκιος. τῷ δὲ μα' ἐνιαυτῷ ἀπεδήμησεν εἰς τὴν ἰδίαν αὐτοῦ χώραν μετὰ πολλῆς δορυφορίας καὶ πολλοῦ τύφου· ἦν γὰρ ἀνατείλας ὁ Ζεὺς καὶ Ἑρμῆς. περίοδος Ἑρμοῦ ἔτη οϛ' καὶ περίοδος Διὸς ιβ'· ὁμοῦ γίνονται χρόνοι πη'· τὸ ἥμισυ μδ'. καὶ ἐπειδὴ ἐν ἰδίοις τριγώνοις ἐτύγχανον εἰς τὴν ἰδίαν τὴν ἀποδημίαν ἐποίησεν. ἦν δὲ καὶ ἡ ἑβδομαία τῆς Σελήνης πρὸς Ἀφροδίτην φερομένης· ὁ γενόμενος λοιπὸν ἐτῶν μδ' καὶ μηνῶν δύο ἐσφάγη διὰ τὰς αἰτίας ταύτας.

Γένεσις ἀτρόφου [1].

Τοῦτο γέγονε τέκνον βασιλέως, ἀπέθανε δὲ μηνῶν ε' ϛ' ἐν ΒυΖαντίῳ [2]. — Ἔτος Διοκλητιανοῦ ροθ', μηνὶ Ἀπριλίῳ κε', ὥρᾳ ἡμέρας ζ', Ἥλιος Ταύρου γ', Σελήνη Αἰγοκέρωτος κγ', Κρόνος Ὑδροχόου κϛ', Ζεὺς Παρθένου ιζ', Ἄρης Κριοῦ α', Ἀφροδίτη Κριοῦ ιε', Ἑρμῆς Ταύρου κϛ',

2 προεῖπον] cf. p. 222, 19. 5 Leg. εἰς ΒυΖάντιον? 7 γένετ(ο) cod. μ'] Leg. μῆνας η'? 6 ἀναφοραὶ cod.; corr. 8 Leg. ἀπὸκλίνων? 9 γ' = τρίτον (anaphora Virginis est 38° 20'). 10-11 ὑποδεξάμενος cod. 12 κατὰ] καὶ cod. 13 κυέστωρ cod. 13-14 τῶν ... ἐνιαυτῶν cod. μα'] Leg. μδ'? 18 ἴδια cod. εὐδομμέα cod.; cf. supra p. 206, n. 1. 21 Parisinus 2506 (f. 25, cap. κη') solus. 22 ϛ' = ἕκτον i. e. menses duo; cf. supra p. 221, 7. 23 ἀπριλλίῳ cod.

[1] Ex codice Parisino 2506 [= 10], f. 25 addidimus genituram quae olim in Rhetorii opere thema grammatici sequebatur (cf. supra p. 221, n. 1). Fuit haec pars exigua ultimi capituli, quo Rhetorius γενέσεις βασιλέων commentariis illustrabat (cf. *Catal.*, VIII, 3, p. 111, 1 et *Mélanges Éc. franç. de Rome*, XXXVII, 1918, p. 50).

[2] Infans regius, qui annos duo et menses duo vixit et d. 25 m. Aprilis a 464 natus erat, fuit filius imperatoris Leonis I et Verinae. De eo tacent, ni fallor, historiae huius temporis scriptores. Obiit Constantinopoli, ut ex hac genitura apparet, circa d. 25 Iunii a. 466.

Digitized by Microsoft®

ὡροσκόπος Λέοντος κϛ' μεσουράνημα Ταύρου ιζ', Ἀναβιβάζων Ὑδροχόου κδ', πανσέληνος νυκτὸς ὥρᾳ ϛ' Ζυγοῦ κδ' λϛ', τύχη Ταύρου ιϛ', δαίμων Τοξότου ϛ', ὕψωμα Λέοντος ια'.

Ἀπόδειξις· οἱ τριγωνικοὶ δεσπόται τοῦ ὡροσκόπου καὶ τοῦ αἱρετικοῦ φωτὸς ἀπέκλιναν ἐναντιούμενοι ἑαυτοῖς καὶ ὑπὸ Ἄρεως θεωρούμενοι.

Sarapionis Alexandrini excerpta.

De Sarapione vel Serapione Alexandrino, qui fortasse idem est ac Serapio Antiochenus, Hipparchi, ut videtur, discipulus, qui Alexandriae docuit, cf. Boll, *Byzant. Zeitschr.*, VIII, 1899, p. 525. Opus cuius excerpta hic praebentur, revera Alexandriae scriptum esse ex p. 227, 32 apparet, ubi mare Aquario subiectum τὴν καθ' ἡμᾶς θάλασσαν appellat; Aegyptus enim secundum antiquissimam « chorographiam », quae dicitur, astrologicam sub Aquarii dominio est (Vettius Val., p. 12, 15 ss.; Kroll, etc.).

Anonymus anni 379 affirmat Sarapionem *ante* Ptolemaeum de apparitionibus stellarum scripsisse (Σεραπίων καὶ μετ' αὐτὸν Πτολεμαῖον, *Catal.*, V, 1, p. 205, 17). In his vero excerptis (p. 229, 27) « divi » Ptolemaei auctoritas Dorothei sententiae de surgentibus astris (φάσεις ἀστέρων) opponitur. Si haec Serapionis esse constaret, aetas eius ad ultima imperii Romani saecula detruderetur; sed hanc observationem excerptoris potius quam scriptoris ipsius esse opinor. Nam definitiones verborum astrologicorum quae hic praebentur, antiquitatem sapiunt: multa a sensu quo a posterioribus (Antiocho, Porphyrio, etc.) accipiuntur, differunt et ad pristinum usum referenda esse videntur (vide e. g. quae infra ad v. 8, de Nechepsone, adnotavimus; de astris δορυφόροις p. 227, 8, cf. Bouché-Leclercq, *Astrol. gr.*, p. 254; astra *dei* nominantur p. 228, 25; cf. quae p. 227, 11 ss., de *piis* et *impiis* dicuntur et de potentia Saturni, p. 229, 31).

Alia Sarapionis fragmenta invenies *Catal.*, I, p. 99, p. 101; V, 1, p. 179-180; V, 3, p. 96. Hoc excerptum de epithetis quae signis zodiaci dabantur, arcte cum definitionibus quas hic edimus, cohaeret.

F. 156^{v}. Ἐκ τοῦ Σαραπίωνος Ἀλεξανδρέως παρονομασίαι σχηματισμῶν τῶν ἀστέρων. [Σεραπίωνος ὀνομασίαι].

Χρηματιστικὰ ζῴδια [γίνεται ἢ] λέγεται τὰ δ' κέντρα καὶ αἱ τούτων ἐπαναφοραί. Χρηματίζοντες <ἀστέρες> λέγονται οἱ ἐπὶ δυνάμεως ἐπίκεντροι ἢ ἐπίκληροι καὶ οἱ ἐπὶ φάσεως ἢ οἱ τρίγωνοι Ἡλίου γινόμενοι. συγχρηματίζοντες δὲ οἱ κοινῶς ἔγκεντροι ἢ ἔγκληροι καὶ οἱ ἐπὶ φάσεως. ἀχρημάτιστοι δέ εἰσιν οἱ μὴ οὕτως ἔχοντες.

2-3 Ταύρου ιϛ' δαίμων (signis astr.) iter. cod. 5 Textus decurtatus esse videtur. 6 παρονομασίαι pro ὀνομασίαι dictum esse videtur. 7 Σεραπίωνος ὀνομασίαι rubro pigmento add. 8 γίνεται ἢ del. 8-9 Definitionem eandem praebebat rex Nechepso, cf. *Catal.*, VIII, 3, p. 116, 12. 9 ἀστέρες suppl. 11 ἔγκληροι corr.; cf. v. 11 : ἔγκλωνοι ut vid. cod.

Digitized by Microsoft®

Βοηθοὶ δὲ λέγονται ἀστέρες οἱ συλλαμβανόμενοι ἢ ἐπιμαρτυροῦντες ἢ μεσεμβολοῦντες.

Συνεργοί εἰσιν οἱ συνοδεύοντες, ὑπουργοὶ δὲ οἱ συμβάλλοντες.

Συμπαθεῖς εἰσιν οἱ κατ' ἴσον ἀπέχοντες κατ' ἐπιθεώρησιν ἀλλήλων σύμφωνοι· ἀσυμπαθεῖς δὲ οἱ κατὰ μηδένα τρόπον ἐπιθεωροῦντες ἀλλήλους, ὅπερ γίνεται ἐκ τῆς τῶν ἀσυνδέτων ζῳδίων ἀποστροφίας· ἐστὶν δὲ [τὰ] ἀσύνδετα τὰ παρ' ἑκάτερα καὶ τὰ διὰ ϛ' καὶ η' ζῳδίων ἀριθμούμενα.

Προστάσσειν λέγεται, ὅταν ἐν ἰδίῳ οἴκῳ ἄστηρ ὑπὲρ γῆς ἐπίκεντρος τύχῃ καὶ τὰ δύο φῶτα ἐπιθεωρῇ χρηματίζων· διὸ λέγεται προστάσσων ὅταν καὶ ἐν ἰδίῳ οἴκῳ ἐπίκεντρος τύχῃ καὶ συσχηματίζηται τῇ Σελήνῃ· ἐάν τις τύχῃ τῶν ε' ἀστέρων ἐπίκεντρος, μὴ <ἐπι>μαρτυρῶν τῇ Σελήνῃ, χρηματίζει· ἐὰν δὲ καὶ ἐπιμαρτυρεῖ τῇ Σελήνῃ τρίγωνος ἢ τετράγωνος ἢ διάμετρος, προστάσσει· ἐὰν δὲ ὡροσκοπῇ Ἥλιος, προστάσσει· ἐὰν δὲ καὶ ἡ Σελήνη αὐτῷ τύχῃ τρίγωνος, καὶ προστάσσει καὶ χρηματίζει ὁ Ἥλιος.

Ἰσχύοντες λέγονται ἀστέρες οἱ ἐπὶ τῶν ἐπικαίρων τῆς γενέσεως τόπων τυχόντες, τουτέστι ἐπίκεντροι, καὶ οἱ ἐπὶ φάσεως καὶ οἱ ἐπίκληροι καὶ οἱ ἐν ταῖς συνόδοις ἀκριβῶς ὄντες.

Κακοῦται ἀστὴρ ὅταν μὴ εἰς ἁρμόζοντα τύχῃ παρὼν ἢ περιέχηται ὑπὸ κακοποιῶν ἢ κατ' ἐναντίον ἢ ἐπιδέκατον. ὅτι ἀγαθοποιὰ ζῴδια εἰσὶν ὁ ὡροσκόπος, τὸ μεσουράνημα, ια', ε', θεός, θεά· κακοποιὰ δὲ β', δ', ϛ', ζ', <η'>, ιβ'.

Προσνεύων λέγεται ὁ ἀκολουθῶν τῷ προερχομένῳ.

Ὁμοροοῦν λέγεται ζῴδιον τῇ Σελήνῃ τὸ ἐπαναφερόμενον ἐφ' ὃ φέρεται· τὸ γὰρ αὐτὸ καὶ παράκολλον καλεῖται. ἀποσαλεῦον δὲ τὸ μηδὲ ὁροούμενον ὑπὸ τῆς Σελήνης ζῴδιον.

Τὴν κατὰ κράτος καθυπερτέρησιν λέγουσιν ὅταν ἐπὶ τοῦ <ἐννάτου> ζῳδίου γένηται ἀστήρ· ὅταν δὲ μηδεὶς παρῇ ἐπὶ τοῦ ἐννάτου, ἰσχύει· γίνονται δὲ καθυπερτερήσεις καὶ μοιρικαὶ τὸν τρόπον

4 κατείσον vel κατάσον cod. : corr. 6-7 ἐστοτίας ut vid. cod. : ἀποστροφίας correxi, nam ἀσύνδετα signa sunt ἀπόστροφα. 7 τὰ del. 9 προστάσσειν corr. : πρὸς στάσιν cod. 10 χρωματίζων cod. 11 συσχηματίζεται cod. 12 μαρτυρῶν cod.; corr., cf. 13. 14 προστάσσει corr. : πρὸς στάσιν cod. 14 et 15 προστάσσει corr.: πρὸς στάσει cod. 19 ἀκριβῶς ὄντες corr.: ἐκριβάζωντες cod. 20 κακοῦνται cod. 21 ἐπιδέκατον] In margine : δεξιόν ἐστιν τὸ ἐπιδέκατον; cf. *Catal.*, I, p. 157, 1 et infra p. 227, 24 Ζώδιον hic usurpatur pro τόπος. 23 β' correxi : α' cod. Nam secundus locus malus est, non primus, id est horoscopus. η' addidi. ιβ' corr. : ια' cod., undecimus locus, i. e. Agathodaemon, recte inter bona v. 22 indicatur. 24 προσερχομένῳ cod. 25 ὁμορόησις aliter definitur *Catal.*, V, 3, p. 114, 17. ἐφ' ᾧ cod. 26 παράκολλον] cf. Vettium Valent., pp. 215, 8; 360, 18. ἀποσαλεύων cod. 27 ὡροῦμενον sic cod.; corr. An ὁρώμενον? 29 ἐννάτου suppl. ἐπὶ τοῦ θ' cod.; cf. p. 227, 20.

Digitized by Microsoft®

τοῦτον· ὅταν δύο ἀστέρες ἐν τῷ αὐτῷ ζῳδίῳ τύχωσιν καὶ ὁ μὲν ἐλάσσονας μοίρας ἐπέχων τὸν τὰς πλείονας μοίρας ἔχοντα καθυπερτερεῖ. οἷον ἔστω τὸν τοῦ Ἑρμοῦ ἀστέρα εἶναι Κριῷ περὶ μοῖραν ι′, τὸν δὲ τοῦ Κρόνου ἐν τῷ αὐτῷ ζῳδίῳ περὶ μοῖραν κε′· δῆλον ὅτι ὁ τοῦ Ἑρμοῦ τὸν τοῦ Κρόνου μοιρικῶς καθυπερτερεῖ.

Ἐν ἰδίαις λαμπήναις λέγονται οἱ ἀστέρες ὅταν ἐπὶ τῶν ἰδίων ὑψωμάτων τύχωσι.

Δορυφόροι ἀστέρες λέγονται ἑῷοι μὲν <οἱ> προαναφερόμενοι Ἡλίῳ, ἑσπέριοι δὲ οἱ προανατέλλοντες μὲν Ἡλίῳ, τῇ δὲ Σελήνῃ ἐπαναφερόμενοι.

Αἱ πρὸ Ἡλίου ιε′ <μοῖραι> εὐσεβῶν λέγονται, ὡς ἀπολελυμέναι ἤδη τῶν τοῦ Ἡλίου αὐγῶν· αἱ δὲ μεθ' Ἡλίου μοῖραι ιε′ ἀσεβῶν, ὅτι οἱ ἐκεῖ εὑρισκόμενοι ἀστέρες ἀδρανέστεροί εἰσιν ὑποπεπτωκότες ταῖς τοῦ Ἡλίου αὐγαῖς.

Σελήνης ἑσπερία ἀνατολὴ λέγεται, ὅταν ἀπὸ συνόδου φέρηται μέχρι πανσελήνου, ἑῴα δὲ ἀνατολὴ ἀπὸ πανσελήνου μέχρι συνόδου.

Ἀρχέτυπος λέγεται ὁ καλούμενος κλῆρος τύχης, τὰ δὲ τούτου τετράγωνα ὑπόστασις.

Κραταιοὶ ἀστέρες λέγονται Κρόνος, Ζεύς, Ἄρης. Ζῴδιον κραταιὸν καλεῖται ἑκάστης γενέσεως τὸ δέκατον καὶ ἔννατον ἀπὸ Σελήνης, τουτέστι τὸ δεξιὸν τετράγωνον καὶ τρίγωνον.

Τὸ πρῶτον τρίγωνον καὶ τετράγωνον καὶ ἑξάγωνον λέγεται τὰ εὐώνυμα † ἑξῆς ἡ Σελήνη πρῶτον συνάπτει τινὶ τῶν ἀστέρων.

Ἐπιδέκατον λέγεται τὸ δεξιὸν τετράγωνον.

Φωσφορίαι λέγονται ἐπὰν ἀποσπάσῃ ἡ Σελήνη τοῦ Ἡλίου μοίρας ιε′ καὶ ἀνατείλῃ.

Τῶν μὲν ἐπαναφορῶν ὁ δεύτερος τόπος, τῶν δ' ἀποκλιμάτων ὁ ϛ′ ἀμείνους διὰ τὸ τρίγωνον εἶναι τὸ μεσουράνημα.

Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἀστέρων φωσφορίαι λέγονται.

Ὅταν ὁ Ζεὺς καὶ ὁ Κρόνος συνοδεύωσιν ἐπὶ τοῦ Ὑδροχόου, ἔσται τις † σαρηκ(ὴ) ἐπισημασία ὀχληρὰ κατὰ τὰ βόρεια κλίματα τὰ συνεγγίζοντα τῇ καθ' ἡμᾶς θαλάσσῃ.

1 δύο] β′ superscr. cod. ὁ] ὅς cod. 3 ἔσται cod. 5 μερικῶς καθυπερεῖ cod. 6 cf. *Catal.*, VIII, 3, p. 114, 34. 8 οἱ suppl. προσαναφερόμενοι cod.; cf. *Ibid.*, p. 115, 18. 11 πρὸς ☉ cod.; corr.; cf. tamen Rhetorium, *Catal.*, I, p. 145, 2 ss. μοῖραι suppl. ἀπολελύμεναι] υ ex ο corr. m. 1; οι superscr. εἴδη cod. 17 ἄρχεται πὸς (i. e. πως) cod.; corr.; cf. Vett. Val., p. 67, 4 Kroll. τύχη cod. 18 Leg. ὑποστάσεις? 20 νέσεως sic cod. 21 καὶ θ′ cod. 23 ἑξῆς (ἑξ dubium, e corr.) corruptum. Leg. ἐξ οὗ? 24 Leg. ἐπιδεκατεῦον? Sed cf. p. 226, 21. 29 Transponenda esse videntur post v. 26. 30 συνοδεύουσιν cod. 31 σαρη (κ′ superscr.) cod. De adiectivo σαρικός cogitavi, a « saro » (σαρός) Babylonico derivato; cf. Berosum in F. H. G., II, 498; IV, 280. 32 καθ' ἡμᾶς] i. e. Aegypto, nam Aquario haec regio subicitur; cf. supra p. 225.

Digitized by Microsoft ®

Τὸ μὲν οὖν μεσουράνημα καὶ τὰ ἴδια κέντρα δίδωσι τὴν περίκτησιν, τὴν δὲ ποιότητα τῆς περικτήσεως οἱ ἐν τοῖς ἀποκλίμασι δηλοῦσιν· οἷον Ζεὺς μεσουρανῶν, Ἄρης ἐν τῷ ϛ', ἡ μὲν περίκτησις ἐκ τοῦ Διός, ἡ δὲ ποιότης ἀπὸ Ἄρεος, οἷον διὰ στρατιωτικῶν <προσώπων>· αἴτιος μὲν ὁ Ζεύς, τὸ δὲ ποῖον ὁ Ἄρης τοῦ διὰ τοιούτων προσώπων.

Δυνατώτεροι δέ εἰσιν οἱ κακοποιοὶ ἐν τοῖς ἀποκλίμασιν, ἐὰν παρὰ τῷ κέντρῳ ἐπίκειταί τις· τὰ γὰρ αἴτια τῆς κακίας δι' αὐτῶν ἔσται, καὶ μάλιστα ἐὰν ὦσιν ἐν τῷ ϛ'· οἱ δὲ ἀχρημάτιστοι τῶν ἀποκλινόντων ἀστέρων διὰ πάντων ἀνενεργότεροί εἰσιν.

Πολλάκις γίνεται ἡ τύχη δαίμων· ὅταν γὰρ τὸ αἱρετικὸν φῶς εἰς παραιρέτου ᾖ ὅρια ἢ κατὰ τὸ ἄρρεν καὶ θῆλυ, οἷον ἡμέρας μὲν Ἥλιος θηλυκῷ ζῳδίῳ, νυκτὸς δὲ Σελήνη ἀρσενικῷ· καὶ ὅταν τὸ αἱρετικὸν φῶς μὴ ᾖ ἀπηλιωτικὸν ἐν τῷ αἱρετικῷ ἡμισφαιρίῳ. ἐὰν δὲ ἄμφω τὰ φῶτα ἐν τῷ ὑπὸ γῆν τύχῃ ἡμισφαιρίῳ καὶ τὰ ἄλλα ἀνοικείως ἔχωσι ἀπὸ τοῦ καθυπερτεροῦντος ἤτοι προηγουμένου φωτός, ἐπὶ τὸ ἑπόμενον ἡ τύχη λαμβάνεται.

Ὅτι οἱ τριγωνίσμοὶ φιλικώτεροί εἰσιν, κἂν ὦσι κακοποιοί, ἧττον βλάπτουσιν· οἱ δὲ τετράγωνοι μεγίστας ἔχουσι δυνάμεις, οἱ δὲ ἑξάγωνοι ἀνειμένας. αἱ δὲ διαμετρήσεις τῶν μὲν ἀγαθοποιῶν ἀντιζηλίας ἔχουσι, τῶν δὲ κακοποιῶν δυνατώτερα γίνονται τὰ κακά. ἔτι δὲ καὶ ἐὰν ἐπίκεντροι ὦσιν, αἱ συμπαρουσίαι τῶν μὲν ἀγαθοποιῶν χαιρόντων ἐν αὐταῖς ἄρισται, τῶν δὲ κακοποιῶν πραΰνονται αἱ κακίαι.

Ὅτι κρείττονες αἱ διαμετρήσεις αὗται· Σελήνη Ταύρῳ Ἄρης Σκορπίῳ, Ἥλιος Λέοντι Κρόνος Ὑδροχόῳ, Ζεὺς Αἰγοκέρωτι † Κρόνος Ζυγῷ, διὰ τὸ οἰκείως εἶναι τοὺς θεοὺς καὶ ἰδιοθρονεῖν· γίνονται γὰρ ἀρχικοὶ τότε. τὸ δ' ἐνάλλαξ κάκιστον σχῆμα καὶ καθόλου ἐναντιούμενον τοῖς ἰδίοις ὁρίοις τὴν καθυπερτέρησιν καὶ διαμέτρησιν ἔχειν τοῦ ἐναντίως ἔχοντος. πολλάκις δὲ τὰς διαμετρήσεις κωλύει τὸ τῆς γῆς κύρτωμα καὶ ἀδικεῖ, οἷον Παρθένῳ, Ἰχθύσι· πλὴν Ζεὺς καὶ Κρόνος οὐκ ἀδικοῦνται ὑπὸ τοῦ κυρτώματος τῆς γῆς. οὐδὲ Σελήνη Ταύρῳ καὶ Ἄρης Σκορπίῳ οὐδ' οὗτοι. οἱ δ' ἄλλοι πάντες ἐν τοῖς διαμέτροις ὄντες ἀθεώρητοί εἰσιν ἀλλήλων διὰ τὸ τῆς γῆς κύρτωμα.

Ὅτι ἐφ' ὧν ἐστιν ἡ Σελήνη ὁρίων, οἰκοδεσπότης ποιεῖται, ὅταν τύχῃ ὁ τῶν ὁρίων κύριος ἐν ἰδίῳ ζῳδίῳ ἢ μοίρᾳ μαρτυρῶν τὴν Σελήνην. ἀφ' ὧν φέρεται, ἀπόρροιαν ποιεῖται, εἰς ἃς δὲ ἐπιτρέχει μοίρας, τούτοις

3 Ἄρης corr.: Ἥλιος cod. (signo astr.). ἡ ... ἡ corr.: εἰ ... εἰ cod. 4 προσώπων suppl. 8 ἀποκλινόντων scripsi: ὑποκλινάντων (ν ex μ correctum) cod. 10 δαίμων (signo astrol. in cod.) ita ut δαίμονος legi possit. Sed verbum corruptum esse videtur. Fort. leg. κακοδαίμων? 12 ζῳδίῳ scripsi: δὲ cod. 19 ἀνημένας cod. 20 ἔχωσι cod. δυνότερα cod.; cf. v. 6. 21 ἐπίκενтραι cod. αἱ δὲ cod. manu 2. 24 Κρόνος Ζυγῷ corrupta. Expectes Ζεὺς Τοξότῃ Ἑρμῆς Διδύμοις. 25 σίνονται cod. 27 ἔχῃ cod. 28 τὸ] τῷ cod. 32 ἀλλήλῳ cod. 34 ποιεῖται corr.: ποιεῖ cod. 35 μοίραις cod.

Digitized by Microsoft®

σ υ ν ά π τ ε ι. ἐὰν δὲ ὁ κύριος ἐπιτρέχῃ μοίραις τῶν ὁρίων <καὶ> Σελήνη συμπαρῇ αὐτῷ κατὰ τὰ αὐτὰ ὅρια, εἰ δὲ Σελήνη αὐτῷ συνάπτει, κυρία ἔσται ἡ συναφή· ὡσαύτως ἐὰν ἀπορρῇ, κυρία ἔσται ἡ ἀπόρροια. ἐὰν δὲ μὴ οὕτως ἔχῃ, μέλλῃ δὲ συνάπτειν τινὶ τῶν ἀστέρων ἢ κατὰ σῶμα ἢ κατὰ μαρτυρίαν ἐφ' ὧν ἡ Σελήνη μοιρῶν ἐπιβαίνει, σκοπεῖν δεῖ <εἰ> εἰς ἃ ἀπέρχεται Σελήνη ὅρια, τοῦ ἀστέρος εἰσὶν ἐκεῖνα ᾧ τὴν ἀκτῖνα ἐπέβαλεν, καὶ ἐὰν οὕτως ᾖ, λέγ(ε) † ἔχῃ· εἰ δὲ μὴ τύχῃ εἰς ἃ μέλλει ὅρια ἀπέρχεσθαι ἡ Σελήνη, εἶναι αὐτὰ τὰ τοῦ ἀκτινοβοληθέντος ἀστέρος ὅρια, ἀκυρολόγητος ἔσται ἡ συναφή· τὸ δ' αὐτὸ νοείσθω καὶ ἐπὶ τῶν ἀπορροιῶν.

Ὅτι ἡ Σελήνη χαίρει συνάπτουσα μεστὴ μὲν πρὸς τὴν τοῦ Ἡλίου αἵρεσιν, ἀποκρουστικὴ δὲ πρὸς τὴν ἑαυτῆς αἵρεσιν.

Ὅτι ἡ Σελήνη ὅτε μὲν ἀπὸ τῶν ἐλασσόνων ἐπὶ τὰ μέσα κινεῖται, μεσοβίους ποιεῖ· ἀπὸ δὲ τῶν μέσων ἐπὶ τὰ ἐλάσσονα ταπεινοτέρους· ἀπὸ δὲ τῶν μέσων ἐπὶ τὰ μεγάλα, εὐδαίμονας ποιεῖ· ἀπὸ δὲ τῶν μεγάλων ἐπὶ τὰ μέσα μεσοβίους. ταῦτα δὲ ἐπιτείνονται καὶ ἀνίενται πρὸς τὴν αὐξομείωσιν τοῦ φωτός· ἀποκρούουσα γὰρ ὥσπερ τὴν δύναμιν ἀφαιρεῖται αὐτῆς. ἀλλὰ † κἂν τῶν ἀπὸ τῶν ἄλλων σχημάτων, εὐδαιμονίας ἢ ἐκπτώσεως γίνεται αἰτία· ἀμαρτύρητος δὲ ὑπὸ Διὸς Ἀφροδίτης καὶ κενοδρομοῦσα μετρίους, φιλερήμους ποιεῖ· εἰ δὲ καὶ ἀφαιρεῖ, ἐκπτώτους· χείρων δὲ ἐὰν ἀποκλίνωσι ἢ ὕπαυγοι ὦσιν.

Σελήνη ἀπορρέουσα Ἑρμοῦ μὲν δηλοῖ περὶ ἤθους καὶ φρονήσεως, Ἀφροδίτης <ποιεῖ ἡδο>νὰς καὶ τὰ τοιαῦτα, Διὸς δὲ <περὶ> θυμικῶν καὶ φρενῶν ἐκστάσεως, Κρόνου δὲ περὶ σωματικῶν ψύξεων καὶ κακώσεων νεύρων καὶ ὑγρῶν ὀχλήσεως. ἐὰν δὲ ἀπὸ Ἡλίου καὶ Ἄρεος, καύσεις <ποιεῖ> καὶ ὅσα διὰ πυρὸς γίνεται.

Ὅτι δὲ τὰς τῶν ἀστέρων φάσεις ἑπομένως τῷ θείῳ Π τ ο λ ε μ α ί ῳ ἐκλαμβάνει καὶ οὐχὶ Δ ω ρ ο θ έ ῳ.

Ὅτι δυναμοῦνται οἱ ἀστέρες τετράγωνοι ἢ διάμετροι Ἡλίῳ ὄντες, κἂν ἐν ἀχρηματίστοις ὦσι τόποις.

Ὅτι ὁ Κρόνος ὅσα δ' ἂν χαρίσηται, οὐδεὶς ἄλλος δύναται ἀστὴρ ἀφαιρῆσαι.

Ὅτι ἡ Σελήνη μεστὴ μὲν πρὸς Ἄρη, ἀποκρουστικὴ δὲ πρὸς Κρόνον, τετράγωνος ἢ διάμετρος καὶ μάλιστα ἐπίκεντρος, συμφορὰς ποιεῖ καὶ ἐκπτώσεις.

1 καὶ suppl. 2 αυτῷ (prius) corr. : αὐτὴ cod. αὐτὸ cod. 5 εἰ suppl. 7 ἔχῃ] Leg. ἔχειν? 16 ἐπιτίνονται καὶ ἀνίωνται cod. 17 αὐξωμοίωσιν cod. 18 αὐτῆς cod. Legerem πάντων ἐπὶ τῶν. 21 Leg. χεῖρον? 23 litterae VII madore evanidae; ποιεῖ ἡδο suppl. περὶ suppl. 25-26 καύσεις <ποιεῖ> scripsi : κλαύσεις cod. 28 ἐκλαμβάνει (sc. Σεραπίων) scripsi : ἐκλαμβάνειν cod. Possis et ἐκλαμβάνειν <δεῖ>. De his cf. supra p. 225. 30 κἂν ἕνα χρῆμα τις τοῖς cod. 31 χαρήσειται cod. De re cf. Bouché-Leclercq. p. 94, n. 2; *Catal.*, VIII, 3, p. 92, n. 1 et infra p. 237, 7.

Digitized by Microsoft®

Ὅτι ἐάν τις τῶν ἀστέρων τύχῃ ἐν ταῖς πρώταις τοῦ ζῳδίου τρισὶ μοίραις, τὴν δύναμιν ἔχει εἰς τὸ ὄπισθεν ζῴδιον, ὥσπερ πάλιν ἐὰν ἐν ταῖς ὑστάταις τοῦ ζῳδίου τρισὶ μοίραις τύχῃ τις τῶν ἀστέρων, εἰς τὸ ἑξῆς ζῴδιον τὴν δύναμιν ἔχει τῶν ἀποτελεσμάτων· μάλιστα δὲ τοῦτο γίνεται ἐπὶ Σελήνης καὶ Ἡλίου. ἐὰν ἐπὶ τοῦ τμήματος τῶν δύο ζῳδίων τις τύχῃ, δυνατώτερός ἐστι καὶ ἀμέτρητος περὶ τὰς ἐνεργείας.

Ὅτι ὁ μὲν ὡροσκόπος καὶ οἱ ἐν τῷ ἀπηλιώτῃ καὶ οἱ ἑῷοι ἀνατολικοὶ σημαίνουσι τὰ τῆς ἀκμῆς τῆς ἡλικίας. τὸ δὲ μεσουράνημα καὶ οἱ ἑῷοι ἀνατολικοὶ καὶ οἱ ἐν τῷ α′ ἑξαγώνῳ δηλοῦσι τὴν νεότητα, μέρος δ' ἔτι καὶ τῆς ἀκμῆς διὰ τὸ κέντρον. τὸ δὲ δῦνον καὶ οἱ ἑσπέριοι ἀνατολικοὶ καὶ οἱ † ἑξάγωνοι καὶ οἱ ἐπαναφερόμενοι δηλοῦσι τὴν μεσότητα, μέρος δ' ἔτι καὶ τῆς νεότητος διὰ τὸ κέντρον. τὸ δὲ ὑπὸ γῆν καὶ οἱ ἑσπέριοι ἀνατολικοὶ καὶ οἱ ἐπὶ τοῦ β′ ἑξαγώνῳ <καὶ> οἱ ἐπαναφερόμενοι σημαίνουσι τὸ γῆρας, μέρος δ' ἔτι καὶ τῆς νεότητος καὶ μεσότητος διὰ τὸ κέντρον.

Οἱ δὲ ὕπαυγοι αὐτοὶ μὲν ἀσθενεῖς· ὁ δὲ Ἥλιος τὴν αὐτῶν δύναμιν ἀναλαβὼν τὰς ἐνεργείας αὐτῶν ἐν οἰκείοις χρόνοις ἀποδίδωσι ἤτοι ἀγαθὰς Διὶ Ἀφροδίτῃ ἢ κακὰς Ἄρει Κρόνῳ, ἐάνπερ ἐν χρηματιστικοῖς ὦσιν ζῳδίοις· εἰ δὲ συνοδικοί, δυναμοῦνταί πως διὰ τὴν τοῦ φωτὸς τοῦ Ἡλίου μετουσίαν, τὰς δὲ ἐνεργείας ἐν τοῖς ὑστέροις χρόνοις ἀποδιδόασιν, ἐὰν ὦσιν ἐν χρηματιστικοῖς. μάλιστα δὲ ὁ Ἑρμῆς χαίρει συνοδικὸς ὢν καὶ ἐνεργὴς γίνεται· οἱ δ' ἀκρόνυχοι δυνατώτεροί εἰσιν μάλιστα νυκτὸς διὰ τὸ ὑπὲρ γῆν εἶναι.

Ἀμφόριστοι ἀστέρες εἰσὶν ὅσοι τῷ μὲν Ἡλίῳ εἰσὶν ἑῷοι, τῷ δὲ ὡροσκόπῳ ἑσπέριοι.

Ὅτι χαίρουσιν οἱ ἀστέρες ἐν ἀγαθοποιῶν καὶ συναιρεσιωτῶν τόποις, ὥσπερ καὶ ἰδιοτοποῦντες· τότε γὰρ καὶ οἱ φθοροποιοὶ ἀγαθύνονται.

Ὅτι οἱ ἡμερινοὶ ἀστέρες χαίρουσιν ἐν ἀρσενικοῖς ζῳδίοις καὶ ἑῷοι τῷ Ἡλίῳ· οἱ δὲ τῆς νυκτερινῆς αἱρέσεως ἐν θηλυκοῖς καὶ ἑσπέριοι τῇ Σελήνῃ.

Ὅτι οἱ ἀγαθοποιοὶ ἐν κακοποιοῖς τόποις καὶ παρ' αἵρεσιν κακύνονται.

Ὅτι ἐπὶ ἀρσενικῶν γενέσεων ἐν ἀρσενικῷ ζῳδίῳ οἱ ἀστέρες ὄντες χαίρουσιν, ἐπὶ δὲ θηλυκῶν ἐν θηλυκοῖς.

5 Σελήνης καὶ Ἡλίου rescriptum in cod. 6 δυναμότ(ε)ρ(ος) cod.; cf. p. 228, 6, 20. 7 ss. Plura in hoc excerpto sunt inaudita, nam horoscopus non τὴν ἀκμήν sed τὴν πρώτην ἡλικίαν significat (cf. p. 231, 24). 7 οἱ (prius) scripsi : ἡ cod. ἀνατολικοί, κοὶ e corr. cod. 9 ἑξαγώνοις (ϛ cum compendio) cod. Prius hexagonum est hexagonum masculinum, posterius femininum (Bouché-Leclercq, p. 172)? cf. tamen p. 227, 22. 11 Ἑξάγωνοι (ut supra) vix sanum. Fortasse δυτικοί vel ζεφυρικοί, cf. v. 7 ἐν τῷ ἀπηλιώτῃ. 13 καὶ] tres litterae madore evanidae, cod. 16 αὐτῶν corr. : αὐτὴν cod. 19 ὦσιν corr., cf. 21 : οὖσιν cod. 26 συναιρεσιωτῶν pro συναιρετιστῶν dictum esse videtur. 27 Leg. ἰδιοθρονοῦντες? cf. p. 231, 13. 29 νυκτερινῆς scripsi : νυκτὸς cod. (signo astrol.).

Digitized by Microsoft®

῞Οτι οἱ ἀστέρες ἐναντιούμενοι τοῖς ἰδίοις οἴκοις κακύνονται.

῞Οτι ἐν ταῖς τῶν χρόνων διαιρέσεσιν, ἡνίκα ποιοῦμεν τοὺς τῶν ἀστέρων περιπάτους, δεῖ γινώσκειν ὅτι αἱ κολλήσεις τῶν πλανωμένων καὶ ὡροσκοπούντων καὶ μεσουρανούντων καὶ τῶν κλήρων αἱ πρὸς αὐτοὺς γινόμεναι κατὰ τὰς κράσεις αὐτῶν μεσουρανήματος ἔχουσι τὰς ἐνεργείας, μάλιστα εἰ καὶ τὸν αὐτὸν ἄνεμον τρέχουσι ἄμφω.

῞Οτι πρὸ πάντων δεῖ ζητεῖν τὸν ἐνιαυτοκράτορα καὶ τὴν κρᾶσιν αὐτοῦ καὶ τοὺς ἐπιθεωροῦντας αὐτὸν καὶ τὴν θέσιν αὐτοῦ κατά τε πῆξιν καὶ κατὰ πάροδον καὶ πῶς ἔκειτο ἐπὶ τῆς γενέσεως.

῞Οτι δεῖ καὶ τὸν ὡροσκόπον τοῦ ἐνιαυτοῦ ἀκριβῶς στῆσαι ἐν τῇ ἀντιγενέσει καὶ τοὺς θεωροῦντας αὐτόν τε καὶ τὸν κύριον αὐτοῦ κατά τε πῆξιν καὶ κατὰ πάροδον.

῞Οτι οἱ πλανῆται ἰδιοθρονοῦντες χαίρουσι, κἂν ὕπαυγοι ὦσιν· ἐπαυξοῦσι γὰρ οἱ μὲν ἀγαθοποιοὶ τὰ ἀγαθά, οἱ δὲ κακοποιοὶ μεταβάλλονται εἰς ἀγαθοποιΐαν.

῞Οτι χαίρουσιν οἱ ἀστέρες, ὁ μὲν Κρόνος καὶ Ζεὺς καὶ ῎Αρης ἑῷοι ὄντες καὶ συσχηματιζόμενοι, Σελήνη δὲ καὶ Ἀφροδίτη ἑπόμεναι καὶ ἑσπέριαι· ἔτι δὲ Κρόνος μὲν καὶ Ζεὺς καὶ ῎Αρης χαίρουσι συσχηματιζόμενοι ἐν τοῖς ἑῴοις τεταρτημορίοις τοῦ ζῳδιακοῦ, Σελήνη δὲ καὶ Ἀφροδίτη ἐν τοῖς ἐναλλάξ· καὶ οἱ μὲν ἡμερινοὶ δι' ἡμέρας ὑπέργειοι χαίρουσιν, οἱ δὲ νυκτερινοὶ ὑπόγειοι· καὶ ἔμπαλιν οἱ μὲν ἡμερινοὶ διὰ νυκτὸς ὑπόγειοι χαίρουσιν, οἱ δὲ νυκτερινοὶ ὑπέργειοι. ὁ δὲ Ἑρμῆς διὰ τὸ κοινὸν εἶναι πρὸς τὴν αἵρεσιν εἴωθε καὶ μεταβάλλεσθαι.

῞Οτι ὁ ὡροσκόπος δηλοῖ τὴν πρώτην ἡλικίαν [1] καὶ τούτου ὁ μὲν ιβ' τὰ πρὸ τῆς ἐκτέξεως, ὁ δὲ δεύτερος τὰ ἔσχατα τῆς πρώτης ἡλικίας, αὐτὸς δὲ ὁ ὡροσκόπος τὴν μέσην τῆς πρώτης ἡλικίας. τὸ δὲ μεσουράνημα δηλοῖ τὴν μέσην τῆς ὅλης ζωῆς ἡλικίαν· καὶ ταύτης ὁ μὲν θ' τὰ πρῶτα τῆς μέσης, ὁ δὲ ι' τὰ μέσα τῆς μέσης, ὁ δὲ ια' τὰ ἔσχατα τῆς μέσης. τὸ δὲ δῦνον δηλοῖ τὴν ὑστάτην ἡλικίαν τῆς ζωῆς ἀλλ' ὁ μὲν ς' τὰς ἀρχὰς τῆς ὑστάτης, ὁ δὲ ζ' τὰ μέσα τῆς ὑστάτης, ὁ δὲ η' τὰ ὕστατα τῆς ὑστάτης· διὸ καὶ θανατικὸς καλεῖται. τὸ δὲ ὑπόγειον αὐτὸν τὸν θάνατον καὶ τούτου ὁ μὲν γ' τὰ πρὸ τοῦ θανάτου, ὁ δὲ τέταρτος αὐτὸν τὸν θάνατον, ὁ δὲ ε' τὰ μετὰ θάνατον [2].

῞Οτι οὐ δοκιμάζουσιν οἱ ἀστρολόγοι εἰς οἰκοδεσποτείας ἐπικράτησιν

2 τοῖς τῶν χρόνων διαίρεσιν cod. ποιῶμεν cod. vix sanum. 5 μεσουρανήματος corruptum? 6 ἐπέχουσι cod ; corr., cf. Vett. Val. 140, 33; 142, 3, 10. 13 cf. supra p. 230, 27. 14 οἱ (poster.)] εἰ cod. 18-19 σχηματιζώμενοι cod.; corr. 19 ζῳδιακοῦ corr. : ὡροσκόπου (signo astr.) cod. 20 et 21 οἱ corr. : εἰ cod., cf. Vett. Val. III, 2. 22 ὑπέργειοι corr. : ὑπὸ γῆν cod. 30 ὕστα cod.

[1] Haec ex Hermetis Trismegisti libro de duodecim locis Sarapio hausisse videtur, cf. *Catal.*, VIII, 3, p. 117, 36 ss. et supra p. 117.

[2] De imo caelo mortis domino, cf. supra p. 149, n. 1.

Digitized by Microsoft®

τόν τε ὕπαυγον καὶ τὸν ἀπεστραμμένον καὶ τὸν ἀφαιρέτην καὶ τὸν ταπεινούμενον καὶ τὸν ἐναντιούμενον καὶ ἁπλῶς τὸν κακὴν φαῦσιν ἔχοντα.

Textus abrumpitur folio uno avulso.

F. 161. <Balbilli?>[1] Ποίῳ μηνὶ τελευτήσει τις ἐπὶ πάσης γενέσεως[1].

Ἀπὸ Ἡλίου ἐπὶ τὸν ὡροσκόπον ζήτει πόσα ζῴδια διΐσταται καὶ τούτοις πρόσθες τὰς ἡμέρας τοῦ μηνὸς καὶ τὰς ὑποκειμένας ἐν τῷ κανόνι ἡμέρας, καὶ διέκβαλε ἡμέρας μὲν ἀπὸ Ἡλίου, νυκτὸς δὲ ἀπὸ Σελήνης, διδοὺς ἑκάστῳ ζῳδίῳ ἡμέραν α'. Ὑποδείγματος χάριν· Μεχεὶρ δ' ἐπὶ ε', ὥρᾳ νυκτὸς ε', ὡροσκόπος Ζυγῷ, Ἥλιος Ὑδροχόῳ, Σελήνη Διδύμοις· ἀπὸ Ἡλίου ἐπὶ τὸν ὡροσκόπον εἰσὶ ζῴδια θ', πρόσθες αὐτοῖς τὰς τοῦ μηνὸς ἡμέρας δ', γίνονται ιγ'. τούτοις πρόσθες τὰς παρακειμένας τῷ Ὑδροχόῳ ἐπὶ νυκτερινῆς γενέσεως ἡμέρας ρβ', γίνονται ἡμέραι ριε'· ταύτας διέκβαλε ἀπὸ Σελήνης, τουτέστιν ἀπὸ Διδύμων, διδοὺς ἑκάστῳ ζῳδίῳ ἡμέραν α' καὶ καταντᾷ ὁ ἀριθμὸς ἐν Τοξότῃ, ὅ ἐστι μὴν Χοίακ, ἐν ᾧ καὶ τελευτήσει.

Κριός	ἡμ(έρας) ϙ	νυ(κτὸς) ϙ
Ταῦρος	ἡμ(έρας) ϙϛ'	νυ(κτὸς) πδ'
Δίδυμοι	ἡμ(έρας) ρβ'	νυ(κτὸς) οη'
Καρκίνος	ἡμ(έρας) ρη'	νυ(κτὸς) οβ'
Λέων	ἡμ(έρας) ρβ'	νυ(κτὸς) οη'
Παρθένος	ἡμ(έρας) ϙϛ'	νυ(κτὸς) πδ'
Ζυγός	ἡμ(έρας) ϙ	νυ(κτὸς) ϙ
Σκορπίος	ἡμ(έρας) πδ'	νυ(κτὸς) ϙϛ'
Τοξότης	ἡμ(έρας) οη'	νυ(κτὸς) ρβ'
Αἰγόκερως	ἡμ(έρας) οβ'	νυ(κτὸς) ρη'
Ὑδροχόος	ἡμ(έρας) οη'	νυ(κτὸς) ρβ'
Ἰχθύες	ἡμ(έρας) πδ'	νυ(κτὸς) ϙϛ'

2 φαῦσειν cod. Leg. φάσιν? 5 P(arisinus 2425), f. 161; R(omanus Angelicus 2), f. 125, cap. πβ'. 7 ἀπὸ τ(οῦ) ὡρ. P. ἵσταται P. καὶ om. P. 8 τούτοις om. R. 9 διέκβαλλε R; cf. v. 15: ἔκβαλε P. μὲν om. P. 11 μεχεὶρ om. P. ἐπὶ (i. e. inter diem IV et V) P: ἔτη R. νυκτὸς om. R. 12 προσθεὶς R. 16 ὁ ἀριθμός om. P. ὅ R: ὅς P. 17 καὶ om. P. 18 ss. Tabellam omisit R. Numeros correxi. Summa eorum semper 180 est. Sex priores diurni sunt sex posteriores nocturni et vice versa. Vv. 21, 27, 29 pro οη' cod. habet ον', v. 22 pro ρη' ρν', v. 23 pro ρβ' ρζ', v. 26, 30 pro πδ' πα', v. 30 pro ϙϛ' ϙβ'.

[1] De auctore huius excerpti cf. infra p. 234.

Digitized by Microsoft®

Excerpta ex Balbilli « Astrologumenis ».

Balbillus astrologus summa auctoritate apud Neronem Vespasianumque valuit Narrat Suetonius (*Nero*, 36) exeunte anno 64 (cf. Tac., *Ann.*, XV, 47) stellam crinitam, quae summis potestatibus exitium portendere vulgo putabatur, oriri coepisse. « Anxius ea re (Nero), ut ex Balbillo astrologo didicit solere reges talia ostenta caede aliqua illustri expiare atque a semet in capita procerum depellere, nobilissimo cuique exitium destinavit. » Circa decem post annos, cum Ephesii certamen sacrum in gratiam Balbilli astrologi instituere vellent, Vespasianus singulari favore eis concessit quod nulla alia civitas ab eo impetrare potuit (Cass. Dio, LXV [LXVI], 9, qui nomen Βάρβιλλος scribebat). Quorum ludorum, qui Βαλβίλλεια (vel -ηνα) primo saeculo, postea Βαρβίλλεια saepius appellantur, victores in titulis cum Asiae tum Italiae plurifariam commemorantur. Verae formae horum nominum *Balbillus*, Βαλβίλλεια sunt, non Βάρβιλλος, Βαρβίλλεια, quod dissimilatione in liquidis frequentissima apud Graecos ortum est. De his fusius in *Mélanges Éc. franç. de Rome,* XXXVII, 1918, p. 33 ss., egi, ubi probare conatus sum, illum astrologum qui tanta potentia fuit ut ludi maximi amplissimae civitatis suo nomine nuncuparentur, Ti. Claudium Balbillum esse qui annis 56-59 p. C. n. regnante Nerone praefecturam Aegypti obtinuit (*Prosopogr. Rom.*, I, p. 360, n° 662). Quem quamvis Seneca in *Quaestionibus naturalibus* (IV, 2, 13) declaret « *Virorum optimum perfectumque* (l. *profectumque ?*) *in omni litterarum genere rarissime* », ex his, quorum auctor refertur, hominem eruditionis quidem cupidum sed inconsulte credulum fuisse apparet. Haud absurdum videtur eum in provincia sua, quae astrologiae quasi fons et patria celebrabatur, huic divinationi studuisse, ex qua postea Romae magnam auctoritatem adeptus est. Si ad eum pertinet cap. Ποίῳ μηνὶ τελευτήσει τις infra edito, mensibus Aegyptiorum in computationibus utebatur. In « Chaldaeorum » scientiam eo pronior fuit, quod mater eius stirpe regum Syriae vel Commagenes oriunda fuit, si ad hunc σοφὸν Βάρβιλλον referendus est titulus Aegyptius editus Kaibel, *Epigr.*, 991.

Non casu accidisse videtur quod hic mathematicus, qui Neroni formidinem de exitu eius iniecit, librum scripsit cuius primum et praecipuum argumentum erat de tempore vitae stellis, quae ἀφέτης et ἀναιρέτης dicuntur, determinando. Cuius libri epitome, quam astrologus quidam Byzantinus sibi confecit, in *Catal.*, VIII, 3, p. 103 edita est hoc titulo : Συγκεφαλαίωσις τῶν Βαρβίλλῳ πρὸς Ἑρμογένην ἀστρολογουμένων. Hic Hermogenes fuit fortasse familiaris Senecae, qui eum simul cum duobus eius amicis in epigrammate laudat (Bährens, *Poet. lat. min.*, IV, p. 72, n° 38). Num idem sit ac Hermogenes Tarsensis, historiarum scriptor, quem simul cum librariis qui opus eius descripserant Domitianus occidit, incertum manet (Suet., *Domit.*, 10; cf. Müller, *Fragm. Hist. Graec.*, III, p. 523).

Ex hoc Balbilli opusculo deperdito nullum hucusque fragmentum notum erat. In Palchi libro, quem codex Angelicus nobis tradidit, f. 125 capitulum indicatur πα'

Digitized by Microsoft®

Ὅσα εὗρον χρειώδη ἐν τοῖς Βραβίλοις (sic), sed textum quasi inutilem omisit librarii pigritia (εἴασα ὡς ἀχρεῖον, cf. *Catal.*, V, 1, p. 33). In codicibus Parisinis 2506 (= nostro 10) et 2424 (= nostro 9), f. 90, invenitur Μέθοδος περὶ χρόνων ζωῆς ἐκ τοῦ ἀφέτου καὶ ἀναιρέτου Βραβίλου, quam ex primo capitulo libri ad Hermogenem excerptam esse, iam pridem notavimus (*Catal.*, VIII, 3, p. 103, n. 1) et nunc collato hoc codice Parisino 2425 cum Palchi capitulo in cod. Angelico omisso concinere vidimus.

Excerpta Balbilli in collectaneis codicis huius Parisini inserta ex Palcho hausta esse iam ex titulo apparet cuius forma pariter est : Ὅσα εὗρον κ. τ. λ. Idem de Iuliani Laodicensis fragmentis, mox edendis (p. 244 ss.), observabimus, et si series capitulorum illorum collectaneorum et operis Palchi contuleris, apparebit post caput Barbilli nomine signatum plura, quae sequuntur, ex eodem Palcho manasse, sed ex hoc fonte tunc pleniore quam nunc in codice Angelico invenitur. Opus enim Palchi ibi decurtatum et conturbatum exstare, iam in *Catal.*, V, 1 (p. 180, n. 1) notavimus et ex Iuliani excerptis quoque elucebit (infra p. 247; cf. etiam supra cod. 82, f. 179ᵛ, cap. κβ', κγ' et *Catal.*, V, 3, p. 125 ss.). Series autem capitulorum haec est :

Codex Angelicus (*Catal.*, V, 1, p. 33.)	Codex Parisinus, f. 165.
πα'. Ὅσα εὗρον χρειώδη ἐν τοῖς βραβίλοις (l. Βαλβίλλου).	η'. Ὅσα εὗρον χρειώδη ἐν τοῖς Βαβύλου (sic).
πβ'. Ποίῳ μηνὶ τελευτήσει τις ἐπὶ πάσης γενέσεως.	Exstat f. 161 huius codicis (cf. supra p. 232.
πγ'. Σχόλια εἰς τὸ περὶ χρόνων διαιρέσεως ἐκ τῶν Ἡλιοδώρου συνουσιῶν. (Textus omissus est a librario.)	θ'. Ἀναβιβάζοντος τοπικαὶ διαιρέσεις (Heliodori).
	ι'. Ἀναβιβάζοντα καὶ καταβιβάζοντα ἀπὸ χειρὸς εὑρεῖν.
	ια'. Σχόλια διάφορα (Heliodori).
	ιβ'. Περὶ χροιᾶς σώματος (Heliodori).
	ιγ'. Περὶ ξενιτείας.
πδ'. Περὶ στηριγμῶν.	ιδ'. Περὶ στηριγμῶν.
πε'. Περὶ ἐκπτώσεως.	ιε'. Περὶ ἐκπτώσεως.
πϛ'. Περὶ χρόνου θανάτου.	ιϛ'. Περὶ χρόνου θανάτου.

Quaestio oritur quousque haec Palchi capitula ad Balbillum pertineant. Nam caput πβ' cod. Angelici argumento et doctrina tam simile est eis quae olim antecedebant, ut ab eis vix diiungi possit. Sed ulterius, opinor, progredi licet; nam epitomator Byzantinus Balbilli notat eum in fine libelli sui disseruisse περὶ τελευτῆς γονέων[1]... καὶ ἐκπτώσεώς τε καὶ ξενιτείας καὶ ... τῶν τούτοις παραπλησίων (*Catal.*,

[1] Hoc capitulum fortasse in cod. 2506, f. 81, cap. σλγ' servatum est, nam uno tantum alio interposito, excerpta Balbilli sequitur. Textum hic subiungo ut de auctore, quisquis ille est, securius lector iudicare possit :

σλγ'. Περὶ γόνεων τῆς προτελευτῆς.

Λαβὲ τὴν γενήσεως ἡμέραν καὶ ταύτῃ πρόσθες ι' ἀριθμὸν καὶ ταῦτα ὁμοῦ ποιήσας ἀνάλυ(σον) ἐπὶ τῶν ιβ' καὶ τὰ καταλει(πόμενα), ὅσα ἂν εὑρεθῶσιν, ἀπὸ

Digitized by Microsoft®

VIII, 3, p. 104, 23). Itaque vix dubium mihi videtur quin capitula utique ιγ' ιε' et fortasse ιδ' cod. Parisini ex Balbilli copiis Palchus in usum suum converterit. Quodsi recte concludimus, aliud inde colligitur, nempe Dorotheum Sidonium qui in his capitulis laudatur et cuius aetas hucusque accurate definiri non potuit, certe ante Neronis aetatem, i. e. non post initia saeculi primi p. C. n. vixisse.

F. 165ᵛ. [η'. Ὅσα εὗρον χρειώδη ἐν τοῖς Βαλβίλλου] Μέθοδος περὶ χρόνων ζωῆς ἐκ τοῦ ἀφέτου καὶ ἀναιρέτου Βαλβίλλου.

α'. Τὸ προαναφερόμενον ζῴδιον τοῦ ἀφέτου ἀναιρετικὸν καλεῖται. ἐὰν οὖν ἐν αὐτῷ εὑρεθῇ ἀναιρέτης, κἂν τὰ μάλιστα θεωρηθῇ ὑπὸ ἀγαθοποιοῦ, πάντως ἀναιρεῖ. ἐὰν γὰρ ἐν ἄλλῳ ζῳδίῳ εὑρεθῇ ὁ ἀναιρέτης, εἰ μέν ἐστι <Κρόνος>, κατὰ σχῆμα ἢ ἐπαναφορὰν ἡ μὲν Ἀφροδίτη εἴσω η' μοιρῶν, ὁ δὲ Ζεὺς εἴσω ιβ', ἡνωμένοι τῷ ἀναιρέτῃ κωλύουσι τὸν κλιμακτῆρα. τὸν δὲ Ἄρη ἀναιρέτην ὄντα, εἰ μὴ δύο <οἱ> ἀγαθοποιοί, οὐκ ἀναλύουσιν. ὁ δὲ Ζεὺς καὶ ἡ Ἀφροδίτη ἐπίκεντροι ὄντες ὁ μὲν ιβ' ἔτη

1 P(arisinus 2425), f. 165ʳ; A (Parisinus 2506 = noster 10), f. 80, cap. σλα', Epit(omator) = *Catal.*, VIII, 3, p. 103-104. Titulus prior (P) Palchi est (cf. supra p. 234), posterior Balbilli; cf. Epit., p. 103, 11 : Περὶ τῶν τῆς ζωῆς χρόνων .. ἀπὸ τῶν ἀφετῶν. εὔρων P. Βαβύλου P (βραβίλοις cod. Rom. 2, f 125). 3 Nomen erasum in A servatur in Paris. 2424 (= 9) : βραβί(λου). 4 προαναφερόμενον P : πρῶτον ἀναφερόμενον τοῦ ἀφέτου ζώδιον A; cf. Epit., p. 104, 2: τοῦ προανηνεγμένου τοῦ ἀφέτου et infra p. 236, 18. 6 παντὸς P. 7 εἷς μὲν A : ἴσμεν P ἐστι <Κρόνος> corr. : ὅτι codd. 8 ἡνωμένοι A : ἡνωμένη P. τοῦ ἀναιρέτου P : τῷ ἀναιρετικῷ A. 9-10 εἰ μὴ δύο — ἀναλύουσιν P : εἷς καὶ μόνος οὐκ ἂν ἀναλύῃ, ἀλλὰ δύο A. 9 οἱ suppl. 10 ἐπίκεντροι P : ἐπίκοινοι A.

τοῦ ὡροσκόπου ἔκβαλε καὶ εἰ ἐμπέσῃ ὁ ἀριθμὸς εἰς ἀρσενικὸν ζῴδιον, τὸν πατέρα λέγε προτελευτᾶν, εἰ δὲ <εἰς> θηλυκόν, τὴν μητέρα. — Ὑπόδειγμα· Ἐγεννήθη τις Παχὼν κζ'. τούτοις πρόσθες ι', γίνονται λζ', ταῦτα † παρατήρει ιβ' καταλείψας α' ∵ τοῦτον ἔκβαλε ἀπὸ τῆς ὥρας ἤτοι τοῦ ὡροσκόπου. ὑποκείσθω δὲ ἡ ὥρα Κριῷ. ὁ δὲ Κριός ἐστι ζῴδιον ἀρσενικὸν καὶ λέγε ὅτι ὁ πατὴρ ἐτελεύτησε πρότερον· ἐπὶ πάσης δὲ γενέσεως ὁ η' τόπος δηλοῖ τὸν τρόπον τοῦ θανάτου.

Ἄλλο. Ἐγεννήθη τις Ὀκτωβρίου α', ταύτῃ προστίθει ι', γίνονται ια'· ταῦτα ἔκβαλε ἀπὸ τοῦ ὡροσκόπου τῆς Παρθένου, καταλή(γει) εἰς τὸ Καρκίνου ζῴδιον θηλυκόν, καὶ λέγε ὅτι ἡ μήτηρ προετελεύτησεν· ὃ δὴ καὶ γέγονεν. εἰ δὲ καὶ πρὸς τὸν Αἰγύπτιον μῆνα ἤτοι τὴν ιε' τοῦ Παχὼν ἀριθμήσεις, ὡσαύτως εἰς θηλυκὸν ζῴδιον καταντᾷ ἡ μέθοδος.

3 τούτων cod. παρατήρει ιβ' verba corrupta. 4 ἡ ὥρα Κριῷ corr. : εἰ ὁρᾷ deinde signum Mercurii cod. 7 ἐγέννησε cod. 8 ἔκβαλλον cod.

Digitized by Microsoft®

ἡμερινῆς οὔσης τῆς γενέσεως, ἡ δὲ η′ νυκτερινῆς προστιθέασι τῇ γενέσει.

Φησὶ δὲ καὶ τοῦτο ὅτι ὁ Ἥλιος ἀφετεύων καὶ εὑρεθεὶς ἐν μὲν τῇ α′ ιε′ μοίρᾳ Κριοῦ Ταύρου Λέοντος Τοξότου δίδωσιν τὰ τῆς ἀναφορᾶς τοῦ ζῳδίου ἔτη· ἐὰν δὲ εὑρεθῇ ἐν τῇ β′ ιε′ μοίρᾳ τῶν αὐτῶν ζῳδίων, τὰ κυκλικὰ αὐτοῦ μόνα δίδωσιν ἔτη, τουτέστιν ιθ′· τὸ δὲ αὐτὸ καὶ ἡ Σελήνη οὖσα ἀφέτις ἐπί τε τῶν αὐτῶν ζῳδίων καὶ Καρκίνου.

Φησὶ δὲ καὶ δ′ εἶναι ἀναιρέτας Ἥλιον, Σελήνην, Κρόνον, Ἄρεα. τίθεσι δὲ καὶ ὑπόδειγμα τοῦ ἀφέτου καὶ ἀναιρέτου τοιαῦτα· Ἥλιος ὡροσκοπ(ῶν) Αἰγοκέρωτος μοίρᾳ θ′ καὶ Κρόνος ἐκεῖ μοίρᾳ ε′, Ἀφροδίτη ια′, Ἄρης ιβ′, θ′ τόπος Ὑδροχόου γ′, Ἰχθύων Ζεὺς κ′ δ′, Κριοῦ † Σκορπίος δ′ ε′, Σκορπίου Ἀναβιβάζων ε′ δ′, † ϛ′ Διδύμων ζ′, Ζεὺς Καρκίνου θ′ α′ † η′ νυκ(τὸς) θ′ Παρθένου, μεσουράνημα Ζυγοῦ γ′ † Σκροπ(ίος) ια′, Σκορπίου, Καταβιβάζων † εδ′ ιβ′ Τοξότου, Ἑρμῆς ιζ′, Σελήνη ιθ′. καὶ φησὶν Ἥλιον ἀφέτην εἶναι τῆς γενέσεως, μὴ γενέσθαι δὲ ἀναιρέτην Ἄρεα, διὰ τὸ τὴν Ἀφροδίτην αὐτῷ ἐπαναφέρεσθαι εἴσω τῶν η′ μοιρῶν καὶ εἶναι αὐτὸν ἐν ὑψώματι ἰδίῳ· ἔρχεται δὲ ἐπὶ τὸ ἀναιρετικὸν ζῴδιον τὸ προαναφερόμενον τῷ ἀφέτῃ, τουτέστιν τὸν Τοξότην, καὶ εὑρὼν ἐκεῖ τὴν Σελήνην λέγει αὐτὴν ἀναιρέτιν γίνεσθαι. λαβὼν τὸν περίπατον τοῦ Ἡλίου ἕως τῆς τετραγώνου μοίρας τῆς Σελήνης, τουτέστιν Ἰχθύων ιθ′, [καὶ] φησὶ τότε τὴν ἀναίρεσιν γίνεσθαι· καὶ τὸν Δία ὄντα Ἰχθύων μοίρᾳ κ′ μὴ δυνηθῆναι βοηθῆσαι διὰ τὸ ἐν τῷ ἀναιρετικῷ ζῳδίῳ τὴν Σελήνην τυχεῖν.

Πάλιν φησὶν ἐπὶ ἑτέρου θέματος Σελήνην μὲν εἶναι Παρθένου μοίρᾳ

1 προστίθει A. Sequitur in P folium (166) transpositum cum excerptis Pauli Alexandrini, cf. supra p. 34. 3 Φασὶ A. μὲν om. A. 4 ♈ ♈ (dubium) ♌ ➙ P : τοῦ ♈ ♌ ♉ A. 4-6 τὰ τῆς — δίδωσιν ἔτη om. A. 6 ἔτη corr. : ἐν τῇ P. ἡ om. P. 7 ἀφέτης A : ἄφεσις P; corr. καὶ om. P. 8 Φασὶ A. ἀναιαναιρέτας sic P : ἀναιρέσεις A. Σελήνην P : καὶ A. καὶ Ἄρη A; cf. Epitom., *Catal.*, VIII, 3, p. 103, 13 : ἀφέτας δὲ δ′ λέγει Κρόνον, Ἄρεα, Ἥλιον, Σελήνην. τίθει A. 9 ὑπόδειγμα τοῦ P : ὑπὸ (sine τοῦ) A. 9-10 Ἥλιος — μοίρᾳ ε′ P : ὡροσκόπ(ος) ♑ ☉ θα′ ♄ ε′ A. Quae sequuntur usque ad v. 14. Σελήνη ιθ′ om. P, qui hoc tantum habet καὶ Τοξότου Σελήνη μοίρᾳ ιθ′. Signa astrologica interdum corrupta codicis A interpretari conatus sum, sed multa intellegi non possunt. Iovis positio ter indicatur. 11 Nonus locus, cf. infra p. ad v. 24. 15 φασὶν A. Post φησὶν] νυκτὸς (signo astrol.) P. τῆς γενέσεως om. A. 15-16 τὸν Ἄρεα ἀναιρέτην εἶναι A. προαναφέρεσθαι A. 18 τοῦ ἀφέτου P; cf. supra p. 235, 18. τε τῷ Τοξότ(ῃ) P : τὸν Τοξότην δηλαδὴ A. ἀναιρέτην PA; corr.; cf. Vett. Val., p. 134, 2 etc. 19 γένεσθαι PA. 20 τουτέστιν om. A. 21 καὶ del. 22 ἐν τῇ κ′ μοίρᾳ Ἰχθύων A. ἐν τῷ om. P. 24-p. 237, 4 (α′ β′· καὶ)] A et P hic tantum differunt ut utrumque ex tabella geniturae in archetypo delineata descriptum esse appareat. Habet autem A signa astrologica haec partim corrupta : ὡρ(οσ)κ(όπος) ♓ α′ β′, ☿ ιβ′, ♂ deinde signum dubium, β′ τόπος ♋ γ′ ♌ δ′ (i. e. secundus locus a Cancri 3° ad Leonis 4°) ♍ ♌ ζ′ α′ ∈ ♎ ε′, ♏ ☾ δ′, ♃ ➙ α′ β′, ἡ (sic) ♑ ♄ δ′, ☉ κβ′ θ′ ♒, μ(εσου)ρ(άνημα) ♓ ♒ ζ′ α′, ♀ κε′ ια′, ♈ ια′, ♉. πάλιν φησὶν ἐπὶ ἑτέρα θέσει. 24 Παρθένου] Σκορπίου sicut A?

Digitized by Microsoft®

δ', Ἥλιον δὲ Αἰγοκέρωτος μοίρᾳ κβ' θ' καὶ Κρόνον Αἰγοκέρωτος μοίρᾳ δ' καὶ Δία Παρθένου μοίρᾳ ιδ' καὶ Ἄρεα Ὑδροχόου μοίρᾳ ιδ' καὶ Ἑρμῆν Ὑδροχόου μοίρᾳ ιβ' καὶ Ἀφροδίτην Ἰχθύων μοίρᾳ κε' ια' καὶ ὡροσκόπος Διδύμων α' β'· καὶ ἐπειδὴ παρέπεσεν τῶν κέντρων τὰ φῶτα, ἦλθεν εἰς τὰς ἐπαναφορὰς καὶ οὐκέτι ἔλαβεν τὸν ὡροσκόπον ἀφέτην, ἤγουν τὸν Ἥλιον ἐν τῇ ἐπαναφορᾷ τοῦ δύνοντας ὄντα, ἀλλὰ λαμβάνει Κρόνον ἐν Αἰγοκέρωτι ὄντα ἀφέτην, διὰ τὸ πλείονα, ὡς οἶμαι, λόγον ἔχειν ἐν τῷ θέματι καὶ ἰδιοθρονεῖν· καί φησιν ἀναιρέτην <Ἄρεα> τῷ Ὑδροχόῳ καὶ τὸ ἀπὸ Κριοῦ διάστημα τῶν μοιρῶν ἄχρι Ἄρεος ψηφίσας τοσούτους ἔφη γενέσθαι τοὺς τῆς ζωῆς χρόνους.

Φησὶ δὲ ὅτι ἐὰν μὴ εὑρεθῇ ἀναιρέτης ἰσχυρῶς ἀπαντῶν τῷ ἀφέτῃ, ἕως κέντρου λαμβάνομεν τοὺς χρόνους· † πὴ γὰρ ὅτι ὑπάντησεν μὲν κατὰ τετράγωνον ἢ διάμετρον, ὑπὸ δὲ Διὸς ἢ Ἀφροδίτης ἐπιθεωρεῖται εἴσω ιβ' μοιρῶν ἢ η'· ἀνάγκη οὖν τότε τοὺς χρόνους ἕως κέντρου μετρεῖν.

Φησὶν δὲ καὶ περὶ παραδόσεως χρόνου ὅτι ἕκαστος ἀστὴρ ἐν μὲν ἰδίῳ ὑψώματι ὢν τὰ τέλεια αὐτοῦ ἔτη κυκλικὰ μερίζει, τοῦτ' ἔστι τὰ ἐλάχιστα· οἷον Ἥλιος ιθ', Σελήνη κε', Κρόνος λ', Ζεὺς ιβ', Ἄρης ιε', Ἀφροδίτη η', Ἑρμῆς κ'. ἐὰν δὲ μὴ ὦσιν ἐπ' αὐτῆς τῆς τοῦ ὑψώματος μοίρας, καθ' ἑκάστην μοῖραν ὑπεξαιρεῖν δεῖ ἐπὶ ἑκάστου ἀστέρος τοσαύτας ἡμέρας, ὅσα εἰσὶν τὰ τοῦ ἀστέρος ἔτη, κατὰ δὲ ζῴδιον μῆνας τοσαύτας.

Φησὶν δὲ καὶ ἕκαστον ἀφέτην λαμβάνοντα τοὺς χρόνους μερίζειν τὰ ἑαυτοῦ ἔτη εἰς μέρη ρκθ' καὶ διδόναι Ἡλίῳ μὲν μέρη ιθ', Σελήνῃ δὲ κε', Κρόνῳ δὲ λ', Διὶ δὲ ιβ', Ἄρει <δὲ> ιε', Ἀφροδίτῃ δὲ η' καὶ Ἑρμῇ κ' καὶ μερίζειν ἑαυτ(ῷ) μὲν πρῶτον τὰ οἰκεῖα μέρη καὶ δεύτερον τῷ μετ' αὐτὸν καὶ τρίτον τῷ ἐφεξῆς κειμένῳ καὶ ἕως τῶν ζ'. πάλιν δὲ δεύτερον παραλαμβάνειν τοὺς χρόνους τὸν μετὰ τὸν ἀφέτην κείμενον καὶ μερίζειν

1 θ' ex A suppl. Iovem Sagittario 1° 2' collocat A. 2 et 3 Ὑδροχόου] Διδύμων bis sicut A? 3 ια' ex A suppl. 4 α' β' om. P : ex A suppl. 5 τὴν ἐπαναφορὰν A. 6 ἐν (alter.) omis. P. 7 πλείονας ... λόγους A. 8 ἰδιοθρονεῖν] Saturnus enim Capricorni 4° est in domicilio suo et in terminis suis (ὅρια). Ἄρεα supplevi. τοῦ Ὑδροχόου P : Διδύμοις A. 9 ὑπὸ P. Κριοῦ] Leg. Κρόνου? τῶν A : τῷ P. Ἄρεος om. A. 10 τοὺς τῆς A : τῆς τῆς P. 11 φασὶ A. ἀναιρέτης εὑρεθῇ A. ἀπαντῶν A : ἀπάντων P. τῷ ἀφέτ(ῃ) A : τὸν ἀφέτην P. 12 πὴ γὰρ ὅτι P : τί γὰρ ὄντι A verba corrupta. Fuit opinor, ὑποδείγματος χάριν (compendio scriptum) ὅτε. 13 Διὸς] Κρόνου A. 16 ἀστὴρ corr. : χρόνος AP (confusione signorum astrol.). 17 τέλ(εια) κυκλικὰ (circulo notatum) ξ' ἔτη β' μερίζει A. τε' (= τουτέστι) τὰ ἐλάχιστα P : om. A. Cf. Bouché-Leclercq, *Astr. Gr.*, p. 410; supra p. 236, 6. 20 ὑφεξαιρεῖν sic P : ἀφαιρεῖν P. ἐπὶ ἑκάστης μοίρας A. 21 μῆνας P : ἡμέρας A. 23-p. 238, 2 om. A. 24 ριθ' cod , corr. Summa annorum planetarum est 129. ιθ'] ριθ' cod.; cf. v. 18. 25 δὲ suppl. 26 πρῶτον] α' cod. δεύτερον] β' cod. μετ αὐτὴν cod. 27 τρίτον τῷ] γ' τοῦ cod.

Digitized by Microsoft®

ἑαυτῷ τε καὶ τοῖς ἐφεξῆς κειμένοις ὁμοίως καὶ τρίτον ὁμοίως καὶ ἕως ζ'· ὡσαύτως καὶ αὐτῇ τῇ μεθόδῳ φησὶ μερίζεσθαι τοὺς χρόνους.

F. 167v. θ'. <Heliodori?> Ἀναβιβάζοντος τοπικαὶ διαιρέσεις [1].

Κριοῦ δεκανὸς γ' φαῦλός ἐστι· δηλοῖ γὰρ νόσους, θορύβους, πατρικῶν πραγμάτων μείωσιν καὶ ἐν νεότητι κακοπαθείας. ὕστερον δὲ εὐφραντικώτερος ἔσται. ταῦτα δὲ λέγε ἕως τῆς ἀνατολῆς Ἀναβιβάζοντος, ἅ ἐστιν ἔτη ιθ'.

Ἐπὶ δὲ τοῦ β' δεκανοῦ τοῦ <Κριοῦ> καλόν ἐστι· κτήματα παρέχει καὶ τετράδι πλουσίους καὶ ἐνδόξους ποιεῖ· δίγαμος δὲ ἔσται· τέκνον δὲ μόνον θηλυκὸν κτήσεται. αὐτὸς δὲ ὁ γεννηθεὶς ἔσται κακοθάνατος.

Ἐπὶ δὲ τοῦ α' δεκανοῦ Κριοῦ πολλὰ κινδυνεύσει ἐν ὕδατι καὶ κλιμακτῆρας πολλοὺς ἐκφεύξεται καὶ πατρικῶν καὶ μητρικῶν πραγμάτων ἀποβολὰς ποιήσεται. ὕστερον δὲ ἀποκτήσεται προφάσει χωρίων ἢ θησαυρῶν ἢ εὑρεμάτων.

Ἐπὶ δὲ τοῦ γ' δεκανοῦ τῶν Ἰχθύων τυχὼν ποιεῖ εὐτυχεῖς, ἐξ ἑρμαϊκῶν πραγμάτων κτωμένους καὶ πλουσίους καὶ εἰς τὰ κατὰ γάμον εὐποιοῦντας, ἐπὶ δὲ γοναῖς τέκνων λυπουμένους, ἐξαιρέτως ἀρσενικῶν.

Τὸ δὲ αὐτὸ λέγε ἐπὶ τοῦ β' δεκανοῦ.

Ἐπὶ δὲ τοῦ α' δεκανοῦ τῶν Ἰχθύων φαῦλός ἐστιν· κινδύνους γὰρ ποιεῖ ἐν ὕδασιν καὶ ὀρφανοὺς ταχέως ἀπὸ πατρὸς καὶ τῷ πατρὶ ὀξυθανασίαν ἀποτελεῖ.

Ἐπὶ δὲ τοῦ γ' δεκανοῦ τοῦ Ὑδροχόου, φαῦλός ἐστι· νεότητα μοχθηρὰν ἀποτελεῖ. ξενιτεύων τὰ πατρῷα πράγματα διαφθείρει καὶ ἐν παρύγροις τόποις τὰ πλεῖστα διάγει.

Τὸ δὲ αὐτὸ καὶ ἐπὶ τοῦ β' δεκανοῦ.

Ἐπὶ δὲ τοῦ α' δεκανοῦ τοῦ Ὑδροχόου καλός ἐστι καὶ ποιήσει ἄρχοντας, πλουσίους, ἀποταμιακῶν πραγμάτων μετέχοντας, εἰς δὲ τὰ

5 Κριῷ δεκανῷ P. 9 Κριοῦ suppl. 10 τέκον cod. 11 ταχυθάνατος Heliod. 12 ἐνύδατα cod.; cf. v. 21. 14 προφ'σει cod. 15 σαυρῶν cod. 16 εὐτυχοῦντας Heliod. 18 γόνοις cod. λυποῦμενος cod. 19 αὐτὰ cod.; cf. v. 26. λέγεις cod. 21-22 ὀξυθανασίας cod. 27 ὑδρυχόου cod. 28 ἀπὸ ταμιακῶν cod.

---

[1] Hoc capitulum iam Balbillo tribuendum non videtur. Similia sunt sed contractiora quae ἐκ τῆς Ἡλιοδώρου ἀστρονομικῆς διδασκαλίας edita sunt *Catal.*, IV, p. 153, cf. I, p. 150, ubi tamen haec ad Ἀναβιβάζοντα pertinere non indicatur. Diversa autem sunt quae de decanis Hermes Trismegistus in Libro suo Sacro (Ἱερὰ βίβλος) et Rhetorius in excerptis ex Teucro Babylonio (*Catal.*, VII, p. 196 ss.) praebent (cf. Ruelle, *Revue de phil.*, XXXII, 1908, p. 250 ss.).

Digitized by Microsoft®

κατὰ γυναῖκας καλούς, εὐπόρους· τέκνων β' πατὴρ κληθήσεται καὶ ὕστερον γυναῖκα θάψας τελευτήσει.

Pergit disserens de ceteris decanis ff. 168ᵛ-170ʳ. Desinit his verbis :

Ἐπὶ δὲ τοῦ γ' δεκανοῦ τοῦ Ταύρου ποιεῖ στρατιώτας, ἐλευθέρους, εὐπόρους, ἐν ξενιτείαις διάγοντας, ἐν συστάσεσι βεβαίους, πολυχρονίους· καὶ παίδων δύο πατὴρ κληθήσεται, πρώτῃ γυναικὶ ἁρμοσθεὶς ἀποβαλεῖται καὶ πλουσιωτέραν ἑαυτῷ λήψεται εἰς τέλος.

Ἐπὶ δὲ τοῦ β' δεκανοῦ τοῦ Ταύρου ποιεῖ τὴν νεότητα μοχθηρὰν καὶ τοὺς κινδύνους ταχέως διεκφεύγοντας, μειοῦντας τὸν βίον, ὕστερον δὲ κτωμένους.

Ἐπὶ δὲ τοῦ α' δεκανοῦ τοῦ Ταύρου ποιεῖ ἐξ ἑρμαϊκῶν πράξεων ὠφελουμένους καὶ μετὰ ὑπάρχων ἀναστρεφομένους καὶ πραγμάτων ἐνδόξων καὶ ἐγγαίων κυρίους.

ι'. Ἀναβιβάζοντα <καὶ> Καταβιβάζοντα ἀπὸ χειρὸς λαβεῖν.

Ἀναβιβάζοντα καὶ Καταβιβάζοντα ἀπὸ χειρὸς εὑρεῖν· ψηφίσας τὰ ἀπὸ Αὐγούστου Καίσαρος ἔτη ἕως οὗ ζητεῖς ἐνιαυτοῦ πρόσθες αὐτοῖς ἔτη δύο † ἔξωθεν, τοῦ δὲ συναχθέντος ἀριθμοῦ ἀφαῖρε ὁσάκις δύνῃ ιθ', τὸν δὲ καταλειφθέντα ἀριθμὸν ἥττονα τῶν ιθ' ἄφες ἀπὸ Καρκίνου ἀνάπαλιν ἀνὰ γ', καὶ εἰς ὃ καταντήσει ζῴδιον, ἐν ἐκείνῳ εὑρήσεις τὸν ἐκλειπτικὸν σύνδεσμον καὶ εἰς τὸ τούτου διάμετρον· ὁ γὰρ Καρκίνος καὶ <ὁ> Αἰγόκερώς εἰσι τοῦ κόσμου ἐκλειπτικοὶ τόποι.

ια'. <Heliodori?>[1] Σχόλια διάφορα.

Τρεῖς εἰσιν δεκανοὶ καθ' ἕκαστον ζῴδιον καὶ ι' μοίρας ἕκαστος κεκλήρωται. σημαίνει δὲ ἡ α' μοῖρα κεφαλήν, ἡ β' τράχηλον, ἡ γ' ὤμους, ἡ δ' χεῖρας, ἡ ε' στῆθος καὶ τὰ περὶ καρδίαν, ἡ ϛ' πλευρὰν καὶ νῶτον, ἡ ζ' σπλάγχνα καὶ γαστέρα, ἡ η' γλουτοὺς καὶ μόρια, ἡ θ' μηροὺς καὶ γόνατα, ἡ ι' πόδας καὶ καθ' ἕκαστον δεκανὸν τῶν γ' οὕτως. ὑ(πόδειγμ)α· ἡ ια' πάλιν κεφαλὴ καὶ <ἡ> ιβ' τράχηλος καὶ ἐφεξῆς ἕως κ', καὶ πάλιν <ἡ> κα' κεφαλὴ καὶ <ἡ> κβ' τράχηλος καὶ ἐφεξῆς ἕως λ'. σκέπτου

1 καλλῶς εὐπόρως cod. 7 ἀποβαλλεῖται cod. ἑαυτοῦ cod. Leg. αὐτῆς? 11 πράξεων] Leg. πραγμάτων? cf. p. 238, 17. 12 ἀφελουμένους cod. ὑπάρχων scripsi : ὑπαρχώντων (sic) cod. 14 **P**(arisinus 2425), f. 170; cf. Vettium Val., I, 16 (p. 29, 25 Kroll) : Ἀναβιβάζοντα ἀπὸ χειρὸς εὑρεῖν, sed methodus computandi differt. καὶ suppl. 17 ἔξωθεν non capio] Leg. ἑξήκοντα? δύνει cod. (pro δύνασαι). 18 ἄφες] Fort. ἀφέλε. 24 ἡ] ἡμὴν cod. 25 στοίθος (θος e corr.) cod. 28-29 ἡ ter suppl.

---

[1] Similiter in cod. Vindobon. 3, f. 66 ante cap. περὶ δεκανῶν (cf. supra cap. θ') σχόλια διάφορα inveniuntur ἐκ τῆς Ἡλιοδώρου ἀστρονομικῆς διδασκαλίας, sed initium differt. Prima autem sententia cum Heliodori capitulo *Catal.*, IV, p. 52, v. 26 edito consentit.

Digitized by Microsoft®

οὖν τὸ ζῴδιον ποῦ ἐστι τὸ σίνος ἤτοι ὁ κλῆρος τοῦ σίνους καὶ τὴν μοῖραν τοῦ ζῳδίου, καὶ ἐὰν ὁρᾷς τὴν μοῖραν κακοποιόν, πρὸς ἐκεῖνον λέγε ἔσεσθαι τὸ σίνος.

Post alias quattuor brevissimas notulas sequitur:

ιβ΄. <Heliodori?> Περὶ χροιᾶς σώματος.

Ἐὰν ὁ τῆς Σελήνης ὁριοκράτωρ φανῇ ἐν Κρόνου τόποις, ποιεῖ τὰ σώματα ἰώδη, πελιδνά, κακόχυμα, αὐχμηρά, βραδέα, ὠχρά· ἐὰν δὲ Διὸς τόποις, εὔκρατα, ὑγιεινά, εὔχροα, φιλητά· ἐὰν δὲ Ἄρεος τόποις, ξανθά, φακώδη, χαροπά, κεκινημένα· ἐὰν δὲ Ἀφροδίτης τόποις, τρυφερά, ἁπαλά, εὐειδῆ, εὐόφθαλμα, μελίχροα· ἐὰν δὲ Ἑρμοῦ τόποις, οὖλα, μακρά, μελανόχροα, χαρίεντα, κεκινημένα, παντόμιμα, ῥάθυμα, ἀργωπά, σατυρώδη· ἐὰν δὲ Ἡλίου τόποις, οἷα ἐν τοῖς Διός· ἐὰν δὲ Σελήνης, οἷα ἐν τοῖς Ἀφροδίτης.

ιγ΄. <Balbilli?>[1] Περὶ ξενιτείας.

Τὰ καταγόμενα ἔτη ἀπόλυσον ἀπὸ τοῦ θ΄ τόπου καὶ ὅπου ἂν καταντήσῃ ὁ ἀριθμός, ἐκεῖσε κακοποιὸς εὑρισκόμενος ἢ ἐν τοῖς τετραγώνοις ἢ διαμέτρῳ ἀποδημίαν σημαίνει· ποίῳ δὲ μηνὶ τοῦ οὕτως εὑρισκομένου ἐνιαυτοῦ γενήσεται ἡ ἀποδημία, γνώσει οὕτως· ἐπὶ μὲν ἡμερινῆς γενέσεως ὁ Ἥλιος ἐπεμβαίνων ἐν τοῖς τετραγώνοις ἢ διαμέτρῳ ποιεῖ τὴν ἀποδημίαν· ἐπὶ δὲ νυκτερινῆς γενέσεως ἔκβαλε ἀπὸ τοῦ κατὰ πῆξιν Ἡλίου ἐπὶ τὴν κατὰ πάροδον ἐν τῇ ἀντιγενέσει Σελήνην καὶ τὰ ἴσα ἀπὸ τοῦ ἐνιαυσιαίου ζῳδίου[2]. ἐκεῖ οὖν ἐρχομένης τῆς Σελήνης ἢ ἐν τοῖς

1 τὸ σίνος] i. e. locus sextus, qui σίνος vocatur; cf. supra p. 154. 2 ὁρᾷ cod. 5 **P**(arisinus 2425), f. 170r; cf. cod. Vindob. 3, f. 66, cap. ϛ΄ ex Heliodori introductione. χρεῖας (sic) cod., corr. ex Vindobonensi. 6 ὁρικράτορ cod. 8 εὔκρατος cod. τόπους cod. 12 ἐὰν] ἐν cod. bis. 14 **P**(arisinus 2425), f. 170v; **V**(aticanus 1056 = Romanus 20), f. 93; **A** (= Parisinus 2506), f. 58r. Extat et in Veneto 7, f. 169, cap. σκγ΄, quod propter bellum conferre mihi non licuit. 15 καὶ ὅπου om. P. 15-16 ἂν κατ.] ἀνακαταντήσει PV. 16 ἐκεῖ V : ἐκεῖνος P. κακοπ(οιοῦ) εὑρισκομένου A. 17 διαμέτρῳ] signum diametri cum nota οις superscr. V : signum diametri hic et deinceps AP. 18 γένηται A : γίνεται PV; corr. τῆς ἡμερ. A. 18-19 γεννήσεως A. 20 ἐπὶ V : ἀπὸ PA. γενέσεως om. A. ἔκβαλλε P. 21 αὐτογενέσει PV. Σελήνη A. 22 δ' ἐχωμένης P. ἢ om. P.

---

[1] De auctore huius capituli cf. supra p. 234.

[2] Ἐνιαυσιαῖον ζῴδιον vel ἐνιαυτοῦ κύριον (p. 242, 2) est signum zodiaci quod praesidet anno secundum « dodecaeteridem Chaldaïcam » cf. *Catal.*, II, p. 139 ss. et Sarapionem supra p. 231, 7 ss.

Digitized by Microsoft®

τετραγώνοις ἢ διαμέτρῳ ἀποδημίαν δηλοῖ καὶ μᾶλλον ὅταν πρὸς τὸν τοῦ ἐνιαυτοῦ κύριον φέρηται.

Ἄλλως. — Κατὰ τὸν καιρὸν τῆς γενεθλιακῆς ἡμέρας καὶ ὥρας ἐπὶ ἑκάστου ἐνιαυτοῦ ψηφίσας τοὺς ἀστέρας καὶ τὸν Ἥλιον καὶ τὴν Σελήνην ἡμερινῆς οὔσης τῆς γενέσεως ποίησον κλῆρον τύχης οὕτως· ἀπὸ τοῦ κατὰ γένεσιν Ἡλίου ἐπὶ τὴν κατὰ πάροδον Σελήνην καὶ τὰ ἴσα ἀπὸ τοῦ κατὰ τὸ θεμέλιον ὡροσκόπου ἐπὶ τὸν κατὰ πῆξιν Ἥλιον, καὶ ἐὰν εὕρῃς ἐπικείμενον κακοποιὸν ἢ τετράγωνον ἢ διάμετρον, ἐν ᾧ ὁ κλῆρος, λέγε τὸ ἔτος ἀποδημίαν ἔχειν ἢ μετάστασιν ἀπὸ τόπου εἰς τόπον. εἰ δὲ μηδέτερον γένηται, κακὸς ἔσται ὁ ἐνιαυτός· κινδύνους γὰρ ἕξει ἢ ζημίας ἀκαίρους ἢ νόσους.

Πάλιν ἐὰν εὕρῃς κατὰ τὸν καιρὸν τῶν γενεθλίων τὸν Ἥλιον ἢ τὴν Σελήνην ὑπὸ κακοποιῶν περιεχομένους, λέγε ἀποδημίαν ἢ μετάστασιν· εἰ δὲ μή, νόσον ἢ κίνδυνον ἢ ζημίαν ἢ πρὸς μέγα πρόσωπον ἢ δῆμον πρόσκρουσιν. ἐὰν δὲ καὶ τὸν Ἑρμῆν συνέχωσιν ἢ τετραγωνίζωσιν ἢ διαμετρῶσιν, δίκας ἕξει καὶ συκοφαντίας· καὶ ἐπεὶ μηδὲ κατὰ τὴν ἡμέραν καὶ ὥραν ἑκάστου μηνὸς πάντας τοὺς ἀστέρας καὶ τὸν ὡροσκόπον ἐκβάλλειν ** κατὰ μῆνα τὸν Ἥλιον, πάντα ὁμοίως τῷ ἐνιαυτῷ ἀποφαίνου· κρινεῖς δὲ τὸν ὡροσκόπον τοῦ μηνὸς παντότε εἰς τὸ ἔμπροσθεν ζῴδιον διὰ τὸ μεταβαίνειν τὸν Ἥλιον ἀπὸ ζῳδίου εἰς ζῴδιον καὶ τοὺς ἄλλους ἀστέρας ἄλλως εὑρίσκεσθαι.

ιδʹ. Περὶ στηριγμῶν καὶ τῶν δι᾽ αὐτῶν ἀποτελεσμάτων.

Ὁ τοῦ Κρόνου στηρίζων ἐν τῷ ὡροσκόπῳ καὶ κυριεύων χρόνου πατρὸς θάνατον δηλοῖ ἢ τινος πρεσβυτέρου τῶν ἀπὸ γένους. ὁ δὲ τοῦ Διὸς στηρίζων ἐν τῷ ὡροσκόπῳ καὶ κυριεύων χρόνου ἀδελφοῦ πρεσβυτέρου ἢ ἀπὸ γένους ** θάνατον δηλοῖ. ὁ δὲ τοῦ Ἄρεως κυριεύων χρό-

1 ἀποδημία ἔσται P. μάλιστα V. 2 τοῦ om. P. φαίρεται P : φαίνηται A. 4 τὸν Ἥλιον καὶ om. AP. 5 γεννήσεως A. ποίησον — οὕτως om. A. κλῆρον corr. : κύκλον PV; cf. v. 8-9 6 τοῦ] τὴν P. ἐπὶ τὸν κατὰ πῆξιν Ἥλιον post Σελήνην add. P : om. AV. Post ὡροσκόπου transposui. 7 τὸ om. PV. ἐπὶ — Ἥλιόν om. codd.; cf. supra v. 7. καὶ om. A. 8-9 ἐν ᾧ ὁ κλῆρος om. P. Leg. <τόπῳ> ἐν ᾧ? 9 ἀπὸ P : ἐκ V. ἀπὸ τόπου om. A. 10 μηδὲ ἕτερον AV. 11 ἢ om. V. 12 τοῦ ἡλί(ου) (signo astrol.) P. 13 κακοποιοῦ P. περιερχομένους A. 15 συνέχωσιν P : συνέχωῆν ut vid. A : συνελεύσ(η) V. τετράγωνον P : τετράγωνοι AV; corr. 15-16 ἢ διάμετροι AP : om. V. ἕξει PV : δηλοῖ A. 16 ss. Finis capituli differt in AV : καὶ συκοφαντίας κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐν ᾧ τὰ τοιαῦτα σχήματα εὑρίσκονται· ἀλλὰ καὶ ἐπὶ τῶν μηνῶν (ἡμερῶν A), ἡνίκα ὁ Ἥλιος μεταβαίνει ἀπὸ ζῳδίου εἰς ζῴδιον, πραγματεύου καθὼς ἄνωθεν (ἄνωθεν om. A) εἴρηται, καὶ ἀποφαίνου πάντα τὸν ὡροσκόπον τοῦ μηνὸς πρῶτον πηξάμενος. 18 Post ἐκβάλλειν lacunam statui. τὸ ἐνιαυτὰ ut vid. P. 19 κρίσεις P. 22 **P**(arisinus 2425), f. 170ʳ: **R**(omanus Angelicus), f. 125, cap. πδʹ. καὶ τῶν — ἀποτελεσμάτων om. P. 23 καὶ om. P. 24 τῶν P : τούτων A. 25 καὶ om. P. 25-26 ἀδελφοὺς πρεσβυτέρους R. 26 Lacunam signavi; cf. p. 242, vv. 1, 4, 6.

Digitized by Microsoft®

νου στηρίζων ἐν τῷ ὡροσκόπῳ μητρὸς θάνατον δηλοῖ ἢ ἀπὸ γένους νεωτέρου θηλυκοῦ προσώπου ἢ ἀπὸ γυναικός. ὁ δὲ τῆς Ἀφροδίτης κυριεύων χρόνου καὶ στηρίζων ἐν τῷ ὡροσκόπῳ ἀδελφῆς θάνατον δηλοῖ ἢ ἀπὸ γένους νεωτέρου θηλυκοῦ προσώπου. ὁ δὲ τοῦ Ἑρμοῦ κυριεύων χρόνου καὶ στηρίζων ἐν τῷ ὡροσκόπῳ τέκνων ἢ νηπίων προσγενῶν θάνατον δηλοῖ, ἑῷος μὲν ἀρρένων, ἑσπέριος δὲ θηλυκῶν.

Ἐν δὲ τῷ ὑπογείῳ ὁ τοῦ Κρόνου ἔχων χρόνον ὁμοίως καὶ στηρίζων νόσους ἢ φρενίτιδας ἢ ζημίας ἢ σκυλμοὺς ποιεῖ· ὁ δὲ τοῦ Διὸς ὁμοίως τυχὼν γάμον ἢ περίκτησιν· ὁ δὲ τοῦ Ἄρεως κίνδυνον ὀξὺν καὶ αἰφνίδιον· ὁ δὲ τῆς Ἀφροδίτης περίκτησιν· ὁ δὲ τοῦ Ἑρμοῦ σωμάτων κτῆσιν.

Ἐν δὲ τῷ μεσουρανήματι ὁ τοῦ Κρόνου στηρίζων καὶ ἔχων χρόνον ποιεῖ ἀηδίας ἢ βίου ἐλάττωσιν ἢ μεταστάσεις ἢ συγγένους θάνατον. ὁ δὲ τοῦ Διὸς ὁμοίως τυχὼν ποιεῖ φιλοτιμίας ἀκαίρους ἢ ἐντεῦθεν βλάβας. ὁ δὲ τοῦ Ἄρεως ἀηδίας, λύπας, βλάβας, κρίσεις, μεταστάσεις. ὁ δὲ τῆς Ἀφροδίτης ἀγαθὴν πρᾶξιν μετὰ ὠφελείας εἰ ἢ προσθετική, ἀφαιρετικὴ δὲ βλάπτει. ὁ δὲ Ἑρμοῦ ὡς ἡ Ἀφροδίτη ποιεῖ.

Ἐν δὲ τῷ δύνοντι ὁ τοῦ Κρόνου στηρίζων καὶ ἔχων χρόνον ποιεῖ ζημίας, ταραχάς, ἐναντιώσεις, ἀταξίας. ἐὰν δὲ ἐπὶ πρόσθεσιν, πᾶν ὅ τι ἂν πράξῃ, ἐπὶ καλῷ πράττει. ὁ δὲ τοῦ Διὸς ὁμοίως τυχὼν σκυλμοὺς ἢ ἀταξίας ἢ μετεωρισμὸν ἢ ὀφθαλμίαν. ὁ δὲ τοῦ Ἄρεως χαλεπὰ σημαίνει, βίου ἀνωμαλίαν καὶ περίστασιν καὶ ἀταξίαν ἢ σιδήρου τομὴν ἢ πληγάς. ὁ τῆς Ἀφροδίτης ἀκαταστασίαν καὶ λύπην διὰ γυναῖκος. ὁ δὲ τοῦ Ἑρμοῦ πρακτικὸς καὶ ὠφέλιμος ἔσται.

ιε′. <Balbilli?> Περὶ ἐκπτώσεως [1].

Ἐπειδή φησιν ὁ Δωρόθεος ὅτι ἐὰν μὴ εὑρεθῇ ὁ ὁριοκράτωρ τοῦ κλήρου τῆς τύχης ἐπίκεντρος, ἔκπτωσιν ποιεῖ, μάλιστα τῶν φώτων καὶ τῶν τριγωνικῶν δεσποτῶν αὐτῶν ἀποκεκλικότων, οὕτως αὐτὸ δεῖ

2 ἀπὸ om. P, fors. recte. **3** ἐν τῷ superscr. supra χρόνῳ P. ἐν τῷ R : περὶ τοῦ sed ἢ ἐν τῷ superscr. P. **4** ☿ sine τοῦ R. **7** ὁ om. P. **8** στηρισμὸν νώτου καὶ φρενίτιδος P. φρενίτιδα R: corr. **8-9** Ζεὺς (signo astr.) sine τοῦ P. **10** δὲ (prius) om. R. **12** μεσουραν.] ὡροσκόπῳ P. καὶ om. P. **13** ἀηδίαν R. μεταστάσις sic P : μεταστάσιν R; cf. infra v. 16. ἢ] καὶ P. **17** προσθετικὴ signo arithm. Quod cum non intellegeret librarius cod. P, pro προσθετικὴ ἀφαιρετικὴ scripsit προ (vel παρὰ) φὲ. δὲ om. P. **18** καὶ om. P. **20** ἂν] ἐὰν P. πράττει R : ἔσται P. **20-21** καὶ ἀταξίαν P. ἢ R : καὶ P. **25** **P**(arisinus 2425), f. 172; **R**(omanus Angelicus), f. 125ᵛ, cap. πε′; Parisinus 2506, f. 58ᵛ (= **A**). **27** κύκλου P. ἐπίκεντρος superscr. R. τῶν τῶν φώτων P. **28** τριγόνων αὐτῶν δεσποτῶν P : τριγόνων αὐτῶν A.

[1] De auctore huius capituli, cf. supra p. 234.

Digitized by Microsoft®

νοεῖν· ** ἄχρι γὰρ τῆς ἐλαχίστης περιόδου τοῦ ἀστέρος τοῦ ὁριοκράτορος ἐφέξει τὴν ἔκπτωσιν. δεῖ οὖν οὐχ ἁπλῶς τοῦτον δέχεσθαι, ἀλλὰ σκοπεῖν ἐάν ἐστι μεταξὺ τῶν κέντρων καὶ τὸ ἀνάλογον τῆς διαστάσεως ὑπεξαιρεῖν ἐκ τῆς ἐλαχίστης περιόδου. οἷον ὡροσκόπος Παρθένου μοίρᾳ ι′, καὶ ὁ ὁριοκράτωρ τοῦ κλήρου τῆς τύχης Κρόνος Σκορπίου μοίρᾳ κε′, τὸ ὑπόγειον Τοξότου μοίρᾳ ι′. ἡ διάστασις τῶν κέντρων μοῖραι ϙ′ καὶ τούτων τὸ ϛ′ διὰ τὸ ἑξάωρον ιε′· ἡ διάστασις ἡ ἀπὸ τοῦ ὡροσκόπου πρὸς Κρόνον τὸν ὁριοκράτορα μοῖραι οε′ καὶ τούτων τὸ ιε′, ε′· ἔτι δὲ καὶ τὸ ϛ′ τῆς ἐλαχίστης περιόδου Κρόνου γίνεται ε′. ταῦτα πολλαπλασίασον ἐπὶ τὰς γινομένας ὡροσκόπου ε′, γίνονται κε′. ταῦτα ἄφελε ἀπὸ τῶν λ′ ἐτῶν καὶ λέγε ὅτι μετὰ ε′ ἔτη γίνεται ἡ ἔκπτωσις· σημείωσαι τὴν μέθοδον, ἐπὶ πολλῶν γὰρ συμβάλλεται.

ιϛ′. <Balbilli?> Περὶ χρόνου θανάτου.

Πάλιν ὡς εἰς τὸν αὐτὸν τόπον φησὶν Δωρόθεος· τὴν μεσουρανοῦσαν μοῖραν καὶ τὴν ταύτῃ διάμετρον τὴν ὑπὸ γῆν εἰσφέρω εἰς τὸ ἐπὶ τῆς ὀρθῆς σφαίρας κανόνιον καὶ τὴν τοῦ Ἡλίου ἢ τῆς Σελήνης μοῖραν καὶ σκοπῶ πότε κατὰ τὰς ἀναφόρας τῆς ὀρθῆς σφαίρας κολλᾷ τῷ ὑπὸ γῆν Ἥλιος ἢ Σελήνη καὶ τότε λέγω τὸν θάνατον ἀφαιρῶν ἀπὸ τῶν πλειόνων τὰ ἐλάττονα. οἷον· ὑπόγειον Διδύμων μοίρᾳ ι′, Σελήνη Διδύμων μοίρᾳ κι′, Ἥλιος Ζυγοῦ μοίρᾳ ιε′, μεσουράνημα Αἰγοκέρωτος μοίρᾳ ι′. παράκεινται τῇ ι′ τοῦ Αἰγοκέρωτος ι′ νε′. εἰσήνεγκα καὶ τὴν τοῦ Ἡλίου μοῖραν εἰς τὸ διάμετρον τοῦ ὑπογείου, τοῦτ᾽ ἔστι τὸν Αἰγοκέρωτα, καὶ ἔλαβον τὰ παρακείμενα ιϛ′ κ′. ἀφ᾽ ὧν τὰς ι′ νε′ ἀφεῖλον καὶ ὑπελείφθη ε′ κε′. καὶ λέγομεν μετὰ ἔτη ε′ κολλᾶν τῷ ὑπὸ γῆν τὸν Ἥλιον καὶ ποιεῖν ἀναίρεσιν.

1 Lacunam signavi. 3 κέντρων P : ἀστέρων R. καὶ τὸ ἀνάλογον τῆς διαστάσεως A : πρὸς αὐτὸ PR sed R habet in marg. m. 2 : γρά(φε) κέντρων καὶ τὸ ἀνάλογον τῆς διαστάσεως ὑπεξαιρεῖν ἐκ τῆς ἐλαχίστης περιόδου,. 4 ὑφεξαιρεῖν R : ὑφαιξαιρεῖν P. καὶ ἐκ PR. 5-6 ὁ ὁριοκράτωρ — μοίρᾳ κε′ om. A. κύκλου P. μοίρας ubique P. 7 καὶ om. A. διὰ τὸ ἑξάωρον om. PR (90° = horae sex revolutionis diurnae). τοῦ om. AP. 8 πρὸς τὸν (τὸν om. P) Κρόνον (sine ὁριοκρ.) PR, sed R habet in marg. m 2 : πρὸς τὸν ὁριοκράτορα Κρόνον τῶν ιε′ P. 8-9 ἔτι δὲ — ϛ′ om. P. 9 Κρόνου signum Arietis P. γίνεται P : γίνονται R. 9-10 ἐπολλαπλασίασα R : ἐπολλυπλασίασα P. 10 ἀφεῖλον R : ἀφεῖλεν P. 11 λέγω PR. χρόνους A (pro ἔτη). σημείωσαι κ. τ. λ. Nota lectoris esse videtur. 12 ἐπὶ πολλὰ δὲ συμβάλλει αὕτη ἡ μέθοδος A. γὰρ om. P. 13 **P**(arisinus 2425), f. 172; **R**(omanus Angelicus), f. 125ʳ, cap. πε′. 14 τόπον R : τί (vel τόπον compendio) P. 15-16 ἐπ᾽ ὀρθῆς τῆς R : ἐπ᾽ ὀρθῆς P : corr. κανόνι(ον) R : κενὸν ut vid. P. μοῖρα P. 17 σφαίρας R : δ φησιν P. 19 Διδύμων] Leg. Καρκίνου? Nam Gemini non sunt Capricorno oppositi. 20 μοίρας pro μοίρᾳ ubique P. 21 παρακεῖται P. 22 τὸ ὑπὸ γῆν P. τε′ (= τοῦτ᾽ ἔστι) P : obscurum in R. 23 ὑπὸ λῆφθει sic P. 24 ε′ in marg. νε′ R. λέγω μὲν P. ε′ ἔτη P. τὸν om. P.

Digitized by Microsoft®

Sequuntur notulae haecce (f. 172v):
Πολύμορφα ζῴδιά εἰσιν Δίδυμοι διὰ τὸ ῥόπαλον καὶ τὴν λύραν καὶ ὁ Τοξότης διὰ τὸ τόξον καὶ τὸ βέλος καὶ ὁ Ὑδροχόος διὰ τὸ ἄγγος καὶ τὸ ὕδωρ καὶ οἱ Ἰχθύες διὰ τὸ ὕδωρ καὶ τὸ λινὸν καὶ τὸν οὐραῖον σύνδεσμον.
Ὅτι ὥσπερ τὰ δεσμὰ τῆς Ἀνδρομέδης παρανατείλαντα δεσμώτας ποιεῖ, οὕτω καὶ ὁ πλοκαμὸς τῆς Ἀριάδνης παρανατείλας ἀλωπεκείας ποιεῖ.
Post haec dimidia pagina vacua.

F. 207 ss. **Iuliani Laodicensis excerpta.**

In codicibus astrologicis plura Iuliani Laodicensis excerpta inveniuntur, quorum nonnulla iam in hoc Catalogo publici iuris facta sunt (cf. IV, p. 102 ss.; V, 1, p. 183 ss. et supra p. 175, 3; 190, n. 1; cf. cod. 86, f. 73v). Ex codice autem Parisino fragmenta nova vel alibi sine auctoris nomine tradita huic scriptori haud ignobili tribuenda esse docemur, quae hic edere visum est.

Iulianum circa annum 500 p. C. n. vixisse ex certissimis indiciis comperimus. Nam observationem caeli mense Octobri a. 497 p. C. n. factam refert (Cumont et Stroobant, *Bull. Acad. de Belgique*, 1903, p. 572 ss.) et in stellarum longitudinibus notandis, Ptolemaei numeros ita correxit ut eas ad siderum collocationem eiusdem fere temporis accommodaret (*Catal.*, IV, p. 101). Adde quod Procli anno 484 mortui sententiam laudat (*Catal.*, V, 1, p. 189, n. 2). Ineunte autem saeculo sexto Rhetorius eum expilavit (supra p. 174, n. 1). Deorum cultorem eum fuisse cum ex multis aliis locis tum ex capite Περὶ θεῶν καθιδρύσεως (p. 252) apparet. Alexandriae eum vixisse verisimile fit ex his quae de Aegyptiorum simulacris ibidem dicit et quod « Aegyptiorum » doctrinam Ptolemaei sententiae opponit (IV, 106 ss.). Vir haud spernendae fuit doctrinae, nec immerito a Rhetorio Ἰουλιανὸς ὁ πολυΐστωρ vocatur (supra p. 175, 3). Magni enim sunt pretii quae ex veteribus auctoribus, Asclepiade Myrleano (V, 1, p. 188, 22), Hermete Trismegisto (p. 188, 24), Petosiride (I, p. 138, 5), Dorotheo (IV, p. 105, 12; V, 1, p. 186, 13) affert et ad dogmata astrologiae illustranda exempla ex prisca historia petita proferre solet (IV, 105, 18 ss.; V, 1, p. 185, 29). Neoplatonicorum sui temporis doctrina eum imbutum esse ex eo loco vidimus ubi contendit planetarum, quippe qui dei sint, nullum natura malum esse sed omnes bonos (IV, p. 105, 29; cf. Sallust., *De diis*, c. 9, p. 32, 24, ed. Orelli); Iamblich, *De mysteriis*, I, 18).

Capitula Iuliani in hoc codice Parisino tradita ex libro Palchi apotelesmatico astrologum quemdam Byzantinum excerpsisse iam ex titulo quem ad verbum repetiit apparet: Ἐκ τῶν τοῦ Λαοδικέως Ἰουλιανοῦ περὶ καταρχῶν εὑρημένων ἐκλογαὶ χρήσιμοι. Idem de Balbilli excerptis supra notavimus (p. 231). Ordo quoque priorum quatuor capitulorum in Palcho et in libro Parisino idem est; in hoc deinde sequuntur capitula quae, excepto uno περὶ φυτείας, in Palcho vel omittuntur vel

Digitized by Microsoft®

alibi collocantur. Inde manifestius fit, quod iam antea animadvertimus (*Catal.*, V, p. 171), opus Palchi in codice Angelico, quo solo ad nostram pervenit aetatem, misere decurtatum et conturbatum esse. Sed cum ne astrologus quidem qui collectanea huius codicis Parisini sibi congessit, omnia quae in exemplari suo inveniebantur, descripsisse videatur, quaestio oritur num in Palcho alia quoque capitula sine auctoris nomine tradita ad Iulianum referenda sint. Quod exempli gratia de brevissima nota περὶ μαντειῶν [1] vel de capitulo cui titulus ineptus praefixus est Διδασκαλία θεωρημάτων κ. τ. λ. [2] et inter cap. Περὶ φυτείας et excerpta Balbilli f. 123v insertum est, conicere licet. Sed de his securius iudicaturi sumus, cum Palchi liber totus editus erit, quod iam fortasse successisset, nisi per quatuor atrocissimi belli annos studia in Belgio torpuissent.

μβ'. Ἐκ τῶν τοῦ Λαοδικέως Ἰουλιανοῦ περὶ καταρχῶν εὑρημένων ἐκλογαὶ χρήσιμοι [3].

Est caput primum opusculi, cui Ἐπίσκεψις ἀστρονομική titulus in aliis codicibus datur. Cum editione nostra (*Catal.*, IV, p. 103 ss.) textum huius codicis contulimus :

P. 103, 1 cf. titulum supra. 2 ἀναγκαίως. 5 τῶν. 7 ὡς τὸ εἰκος. 9 ἀμβλυώτωντες.

P. 104, 2 ἐπιτηδιώτητα. 3 ἀμοιρήσουσι omis. δυσπραγοῦσιν.

---

[1] F. 115, cap. ξη'. Περὶ μαντειῶν. Μαντεύεσθαι χρὴ Ἡλίου ὄντος ἐν Κριῷ, ἐν Καρκίνῳ, ἐν Ζυγῷ, ἐν Αἰγοκέρωτι μετὰ Ἄρεος ἢ Ἄρεος συμπάσχοντος, εἰ (l. τῆς) δὲ Σελήνης ἐν ἀρχῇ οὔσης Λέοντι ἢ Ζυγῷ ἢ Ὑδροχόῳ ἢ Διδύμοις· καὶ οὕτω σύμφωνα γίγνονται τὰ μαντευόμενα καὶ ἀληθῆ.

[2] De effectibus planetarum coniunctorum in hoc capitulo agitur, cuius initium subiungimus ;

Διθασκαλία θεωρημάτων κατ' ἐπιτομὴν δηλοῦσα τόνδε τὸν τρόπον.

Ἀφροδίτη μετὰ Ἄρεως ἢ κεκεντρωμένη ἢ ἐπαναφερομένη μοιχοὺς ποιεῖ· Ἑρμῆς δὲ σὺν αὐτοῖς καὶ φιλόπαιδας· ἀποκλινάντων δὲ ἧσσον τὸ πάθος ποιοῦσιν. Ἀφροδίτη μετὰ Κρόνου ὑπόγειος ἢ δύνουσα δυσγαμίαν ἢ δυστοκίαν παρέχει ἢ χηρείαν ποιεῖ. Ἀφροδίτη, ἑῴα ἐπικεντροῦσα, ἐὰν εὑρεθῇ καὶ ἐπὶ ταχυαναφόρων ζῳδίων, ταχυγάμους ποιεῖ, καὶ εἰ νεώτεροι πάνυ ὦσι· τὸ αὐτὸ καὶ ἐπὶ γυναικῶν. ἑσπερία δὲ οὖσα βραδυγάμους ποιεῖ· σὺν Ἡλίῳ ὑπόγειος οὖσα ἢ δύνουσα δυσγάμους ποιεῖ· Ἀφροδίτη ἐν Διὸς τόπῳ ἐπαναφερομένη ἢ κεκεντρωμένη χωρὶς κακοποιῶν θεωρίας ἢ κατὰ τετράγωνον ἢ διάμετρον εὐτυχίαν ἐκ γυναικὸς σημαίνει. Ἀφροδίτη ἐν Ἄρεως τόπῳ χωρὶς τῆς πρὸς Δία μαρτυρίας δυσνοίας εἰς γάμον καὶ κακὰ ἀπὸ γυναικὸς ποιεῖ καὶ οὐχ ὁμόνοιαν. Ἀφροδίτη ἐν Ἑρμοῦ <τόπῳ> κακοδαιμονοῦσα ἢ κακοτυχοῦσα ἢ ὑπὸ κακοποιῶν θεωρουμένη κρίσεις διὰ γαμβρῶν καὶ μάχας ποιεῖ. Ἀφροδίτη ἐν τῷ β' ὑπὸ ἀγαθοῦ θεωρουμένη μὴ ὑπάρχουσα ἐν οἴκῳ Κρόνου ἢ Ἄρεος καλὴν νεογαμίαν δίδωσι κ. τ. λ.

[3] Habet codex Λαοδικαίως et εὑρημαίνων. Orthographiam adeo neglexit librarius ut multa verba deturpata sint et nonnulla ita deformia facta ut vix dignosci possint. Has scripturae quisquilias hic, sicut in ceteris capitibus, enotare supersedi.

Digitized by Microsoft®

6 ὅστις] ὥς τις. 7 β' obscurum. ἴστω superscr. 9 κακοποὶ (sic). 10-11 πλειοψηφίας (Leg. πλειονοψηφίας ut in Paul. Alex.). 12 ἐν ταραχαῖς τὸ πρᾶγμα γενόμενον recte. 13 ἐλπίδας ἀποφῆναν recte. περιτραπήσεται recte. ἀρχὰς] ἀρ omis. 16 πρώτου] ἑῷος α'. 19 δῆλον] φανερὸν. 20 οἱ] ἢ. 21 ἑῷοι ἐπίκεντροι omis. 23 ὁ πρῶτος τῶν κέντρῳ πελάζων. 24 γένοινται ἐπὶ μὲν τῶν κέντρων ὁ ὡροσκ. 26 ὁρίζων. 27 παρεληληθὼς. ὁ δὲ δύνων] τὸ δῦνον δὲ. 28-29 τὸ μεσουράνημα — γεροντική omis. 38-105, 1 ὁ δὲ μέλλων ἡ ἐπαναφορά.

P. 105, 2 ἔχῃ. ἡ οἰοἰκοδεσποτεία. 5 ἢ] καὶ. 7 εὐθυμίας] εὐφημίας e corr. 8 ἰδίοι. 11 οἱ κακο sic, sine ποιοὶ. 16 ἄλον. φήσιν. 19 δηλονότι ·6·. 21 τῆς μεθῆς συμβάντα. ἀφροδισιακή. 22 πολλοὶ] πολον. 23 φύση (Leg. φύσει, recte). 24 ἀπορίαν. 25 δεχόμενοι γενέσεις. 26 διὰ τὸ. ποιοῦν e corr. 27 βλάπτων ταῖς. τὰ omis. 30 οἱ omis.

P. 106, 1 ἐκλαμβάνοι. 5 κε(φαλαῖ)ον compendio. τετραγωνίζωσιν (ω e corr.).

μγ'. Περὶ ἀναπομπῶν.

